ISOCRATIS PARÆNESIS,

[illegible]

LONDINI,
J. Heptinstall, pro Soc.
Stationariorum, 1690.

ARGUMENTUM

casibus prudentiùs judices, ipsúmq; libellum rectiùs intelligas, sed in omni vita sapientiam cum probitate conjungere studeas, inscitiam & dedecus abomineris. Non autem hîc vel ordo, vel numerus magnopere est requirendus. Coacervantur enim præcepta; non quidem omnino temere, sed minùs tamen accuratè quàm fit in libello Ciceronis de Officiis, aut Aristotelis disputatione de moribus: neque semper probationes adjiciuntur, sed quæ inter meditandum & scribendum inciderunt, pro auctoritate & arbitrio Isocratis in medium afferuntur. Opus hoc dedicatum est Demonico cuidam Hipponici, non, ut opinor, civis Atheniensis, qui Calliæ pater fuit filio, sed alicujus exteri, qui vel Euagoræ Cyprio, vel alteri alicui regi paruit. Est enim inter alia hoc etiam insertum, ut Demonicus ad regis imitationem sese componat, id quod Athenis locum habere non potuisset: Tzetzes hunc Demonicum Euagoræ filium facit his verbis: θανόντος Εὐαγόρου δὲ, γράφει πρὸς παῖδα τούτου, ᾧ κλῆσις ἦν Δημόνικος, πολλὰς τὰς παραινέσεις, hoc est, post obitum Euagoræ, ad ejus filium Demonicum præceptiones multas scribit. Quod an verum sit, ipse viderit: ego magis Isocrati credo, qui Hipponicum Demonici patrem facere videtur.

ἸΣΟΚΡΆΤΟΥΣ

πρὸς

ΔΗΜΌΝΙΚΟΝ

λόγος παραινετικός.

ISOCRATIS

AD

DEMONICUM

Paræneticus ſermo.

Ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ, τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ, καὶ μακρὰν ἀπόντας ἀγαπῶσι· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας, οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.

Cum multis, Demonice, in rebus multum intereſſe videas inter bonorum rationes & improborum cogitationes: tum in familiaritatibus longè maximum diſcrimen apparet: nam alteri amicos, dum adſunt tantùm colunt: cùm alteri etiam longè remotos ament: ac improborum qnidem neceſſitudines paulo momento pereunt: bonorum autem amicitias nulla temporis longinquitas deleverit.

verit. Quum igitur iis qui gloriam expeterent, & liberalibus artibus studerent, bonos, & non improbos imitandos censerem: hanc orationem dono tibi misi, quæ & amicitiæ nostræ pignus esset & meæ cum Hipponico familiaritatis signum. Ut enim rei familiaris, sic & amicitiæ paternæ liberis capienda est hæreditas. Ac nobis & fortunam suffragari, & ipsum tempus opitulari video. Nam & tu erudiri cupis, & ego in aliis erudiendis elaboro: tu adhuc sapientiæ studes, ego sapientiæ studiosis viam commonstro. Etsi autem ii qui ad amicos exhortationes scribunt, rem certe præclaram suscipiunt: non in eo tamen versantur, quod est in sapientiæ studio præstantissimum. Qui vero adolescentibus tradunt ea, non quæ in

ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς· ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. Πρέπει γὰρ τοὺς παῖδας ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. Σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. Ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι'

ὧν

ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι· τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν· ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. Ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν· ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. Κάλλος μὲν γὰρ ἢ χρόνος ἀνήλωσεν, ἢ νόσος ἐμάρανε· Πλοῦτος δὲ κακίας μᾶλλον, ἢ καλοκἀγαθίας ὑπηρέτης

dicendi exercitatione & oratoria facultate eos acuant, sed quæ ad naturale decus honestatis conforment: eò plùs, quàm illi fructus adferunt auditoribus: quòd, ut alteri ad eruditionem verborum duntaxat hortantur, sic alteri etiam mores eorum corrigunt. Nos igitur non arreptâ hortatione, sed conscriptâ præceptione, tibi consulturi sumus, quæ res adolescentibus expetendæ, quæq; facta fugienda sint: & quorum hominum consuetudine uti, & quo pacto vitam instituere debeant. Nam qui hoc vitæ quasi iter ingressi sunt, hi soli verè virtutis compotes fieri potuerunt: quâ nulla possessio neq; splendidior est neq; constantior. Nam forma quidem, aut ætate consumitur, aut morbo deflorescit: Divitiæ verò, vitiorum magis, quàm virtutis ministræ

sunt: cum quòd ignaviæ facultatem offerunt, tum quòd adolescentes ad voluptates invitant. Jam vires corporis cum prudentia conjunctæ, sanè prosunt: sed sine hac plus iis ipsis nocent, penes quo sunt: & ut corpora pugilum ornant, sic tenebras curationi mentis obducunt. Virtuti autem possessio, in quorum animis sincerè unà cum ætate accreverit, sola nec in senectute deserit, & opibus præstantior, & nobilitate utilior. Nam quæ alii efficere non possunt: ea facit, ut obtineri possint: quæ multitudini horrenda videntur magno animo subit: desidiam in vitio ponit, laborem laudi sibi ducit. Quæ quidem facilè tum ex Herculis certaminibus: tum è Thesei operibus perspici possunt: quorum factis, normâ virtutis directi mores, omnium gloriæ decus impresserunt, ut nulla

ἐστὶν· ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε· καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, τῆς δὲ τῆς ψυχῆς ἐπιμελείας ἐπεσκότησεν. Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ἐν ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί. Τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστῶσα· τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. Ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστὶν ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν

λεν, ὥστε μηδένα τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. Οὐ μὴν, ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ᾽ ἐμοῦ λεγομένων. Οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥαθυμῶν διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. Οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα. ἀλλ᾽ ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος. Οὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον· ἀλλὰ φιλόκαλός τε ἦν, καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός· καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας· Ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρείαν πολλῷ κρείττω φύσιν,

secula res eorum gestas oblivione delere possint. Atque adeò, siquod vitæ institutum patris tui fuerit, recordére, domesticum & illustre habebis exemplum eorum, quæ à me dicuntur. Nec enim sic exegit ætatem, ut vel virtutem negligeret, vel ignaviæ sese dederet: sed & corpus laboribus exercuit, & animum ad pericula paratum habuit. Neque pecuniam supra modum amavit: sed & bonis suis usus est ut mortalis, & rem familiarem curavit ut immortalis. Neque verò vitam abjectè instituit: sed & splendidus fuit, & magnificus, & benignus in amicos: ac sui studiosos pluris fecit, quàm genere sibi propinquos. Ad amicitiam enim constituendam longè plus esse virium in natura,

quàm in lege: in moribus, quàm in genere: in voluntate, quàm in necessitate, judicabat. Deficeret nos omne tempus, si omnes illius actiones enumeraremus: sed illas accuratiùs alias explicabimus: nunc specimen Hipponici naturæ exhibuimus, quod tanquam exemplar in vita degenda propositùm tibi esse debet: ut mores illius pro legibus habeas, paternámq; virtutem admireris & æmuleris. Nam cùm pictores pulchras animantes exprimant, liberis turpe fuerit, parentes virtute præstantes non imitari. Quare persuasum habeto, nulli pugili tantam esse præparationem adhibendam contra suos adversarios, quàm tibi curandum sit, ut in hoc certamine laudi, sis patri tuo par. Nequaquam autem fieri potest, ut quisquam hoc in animum inducat suum, ni multis

νόμου, καὶ τρόπον γένους καὶ προαίρεσιν ἀνάγκης. Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα· ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν. Δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ ζῆν σε ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γινόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων· Ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν· Οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν

καὶ καλῶν ἀκυσμάτων πεπληρωμένον. Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις· ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

& bonis præceptis fuſit refertus. Nam ut moderatis laboribus corpora: ſic honeſtâ doctrinâ mentes augeri ſolent. Ego itaque te breviter monere conabor, quibus ſtudiis maximas ad virtutem progreſſiones facturus, & ab aliis omnibus laudem & gloriam conſequuturus eſſe videaris.

ΠΡῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς Θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. Ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον· τοῦτο δὲ τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς Θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν.

IN primis igitur Deos immortales religioſe colito: non ſacrificia modò faciendo, ſed jurejurando etiam conſervando. Nam illud amplæ pecuniæ indicium eſt: hoc, morum integritatis argumentum. Venerare numen cùm aliàs ſemper, tum maximè quum ſacra publicè fiunt. Sic enim apparebit, te ſimul & diis immolare, & legibus obtemperare.

2. Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν

2. Talem erga parentes te præbe, qua[...]

in te liberos eſſe tuos optares.

εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας.

3. Eas corporis exercitationes amplectere, non quæ ad robur, ſed quæ valetudini proſint. Quod ita conſequêre, ſi laborare deſinas, dum adhuc laborare queas.

3. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα· τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

4. Neque petulantem riſum ama, neque audacem orationem proba. Nam alterum ſtultitiæ eſt, alterum inſaniæ.

4. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

5. Quæ factu ſunt turpia, ne dictu quidem decora eſſe puta.

5. Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

6. Aſſuefac te, ut ſis vultu non torvo, ſed ſevero. Nam illud inſolentiæ, hoc prudentiæ tribuetur.

6. Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπόν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

7. Exiſtima te maxime decere modeſtiam, verecundiam, juſtitiam, temperantiam. His enim virtutibus omnis adoleſcentiæ diſciplina continetur.

7. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

8. Si quid unquam turpe admiſeris, ne ſpe-

8. Μηδέποτε, μηδὲν αἰσχρὸν ποιήσας, ἔλπιζε

πιζε λήσειν· καὶ γὰρ, ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις.

9. Τὸν μὲν Θεὸν φοβοῦ.

10. Τοὺς δὲ γονεῖς τίμα.

11. Τοὺς δὲ φίλους αἰσχύνου.

12. Τοῖς δὴ νόμοις πείθου.

13. Τὰς ἡδονὰς θήρευε, τὰς μετὰ δόξης. Τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον· ἄνευ δὲ τούτου κάκιστον.

14. Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

15. Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

16. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

17. Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής.

rato fore clàm. Nam ut alios id celes, at ipſe tibi eris conſcius.

9. Deum time.

10. Parentes honora.

11. Amicos verere.

12. Legibus obtempera.

13. Eas ſequere voluptates, quæ gloriam pariant: Nam oblectatio conjuncta cum honeſtate, res eſt optima: ſine hac, peſſima.

14. Cave criminationes, etiam falſas Vulgus enim, cum veritatem ignoret, ex opinione famáque judicat.

15. Omnia te ità facere puta, quaſi neminem ſis celaturus Etſi enim quippiam occultâris in præſentia, poſt tamen innoteſcet.

16. Exiſtimationem maximè colliges, ſi ea te non facere appareat, quæ ab aliis facta reprehenderes.

17. Si cupidè didiceris, multa diſces.

18. Quæ

18. Quæ ſcis, exercitationis diligentiâ tuêre. Quæ non didiciſti, artium cognitione adjungito. Æquè enim turpe eſt, auditam utilem orationem non diſcere, ac boni quippiam datum ab amicis non accipere.

18. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν.

19. Quicquid otii dabitur, id in audiendæ doctrinæ ſtudio conſumito. Sic enim fiet ut quæ magnis alii laboribus invenêre, tu facilè perdiſcas.

19. Καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

20. Audiviſſe multa, præſtare puta, quàm pecuniæ multum coegiſſe. Nam hæc facilè amittitur: illa perpetuò durant: Solius enim ſapientiæ poſſeſſio eſt immortalis.

20. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω. Τὰ μὲν γὰρ ταχέως ἀπολείπει· τὰ δὲ πάντα τὸν χρόνον παραμένει. Σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.

21. Nè te pigeat longam ire viam ad eos, qui ſe aliquid utile docturos profitentur. Cùm enim mercatores, rei familiaris augendæ gratia, tanta maria tranſ-

21. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. Αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾷν, ἕνε-

κα

χάριν τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν· τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

mittant: turpe fuerit adoleſcentes, excolendi ingenii cauſa, nec terreſtre iter velle ſuſcipere.

22. Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας· εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν.

22 Moribus tuis adſit affabilitas, verbis urbanitas. Eſt autem affabilitatis, obvios ſalutare: urbanitatis, comiter eos appellare.

23. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ.

23. Comis in omnes eris, ſed optimorum familiaritate utêris. Sic aliorum inimicitias vitabis, aliorum tibi amicitiam conciliabis.

24. Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς, περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.

24. Ne ſæpius eoſdem neque verboſiùs iiſdem de rebus alloquare. Eſt enim rerum omnium ſatietas.

25. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν.

25. Exerce te voluntariis laboribus, ut etiam neceſſarios perferre poſſis.

26. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν

26. Dabis operam, ut rebus omnibus imperes, quibus animum ſervire

servire turpe est: cujusmodi sunt, lucrum, ira, voluptas, dolor. Hæc autem ita consequêre, si ea in lucro deputes, quæ gloriam, non quæ opes augeant. In ira, si talem te præbeas delinquentibus, quales in te delinquentem alios esse velles. In oblectationibus, si turpe ducas, servis imperare, voluptatibus servire. In rebus molestis, si calamitates aliorum inspicias, & te hominem esse recorderis.

27. Diligentiùs tuere deposita verborum, quàm nummorum. Nam boni viri est ita se gerere, ut ejus integritas fide dignior, quàm jusjurandum esse videatur.

28. Quemadmodum improbis diffidendum, sic bonis habendam esse fidem ducito.

29. Nemini arcana credito, nisi res il-

αν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. Τῇ δὲ ὀργῇ ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα, καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. Ἐν δὲ τοῖς τερπνοῖς ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δὲ ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

27. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

28. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.

29. Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν

ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν.

30. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

31. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

32. Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

33. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων· μήτ' ἄπειρος εἶναι τῶν

las taceri æquè expediat etiam illis qui audiunt, ac tibi dicenti.

30. Jusjurandum, si postulabitur, duabus de causis dabis: vel ut teipsum turpi crimine liberes: vel ut amicos è periculis eripias. Pecuniæ verò causâ per nullum Deum jurabis, etiamsi liquidò id facere possis: nè aliis perjurus, aliis avarus esse videaris.

31. Amicitiam cum nemine jungito, priusquam exploraveris, quomodo prioribus amicis fuerit usus. Sperabis enim, eum in te quoque fore talem, qualem erga illos se præbuerit.

32. Sensim amicitiam contrahito, contractam perpetuò conservare studeto. Nam subinde mutare familiaritates, æquè turpe est, ac amicum habere neminem.

33. Neque cum damno mores amicorum periclitare, neque sodalium

18. Quæ ſcis, exercitationis diligentiâ tuêre. Quæ non didiciſti, artium cognitione adjungito. Æquè enim turpe eſt, auditam utilem orationem non diſcere, ac boni quippiam datum ab amicis non accipere.

18. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν.

19. Quicquid otii dabitur, id in audiendæ doctrinæ ſtudio conſumito. Sic enim fiet ut quæ magnis alii laboribus invenêre, tu facilè perdiſcas.

19. Καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα· συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

20. Audiviſſe multa, præſtare puta, quàm pecuniæ multum coegiſſe. Nam hæc facilè amittitur: illa perpetuò durant: Solius enim ſapientiæ poſſeſſio eſt immortalis.

20. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω. Τὰ μὲν γὰρ ταχέως ἀπολείπει· τὰ δὲ πάντα τὸν χρόνον παραμένει. Σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον.

21. Nè te pigeat longam ire viam ad eos, qui ſe aliquid utile docturos profitentur. Cùm enim mercatores, rei familiaris augendæ gratia, tanta maria tranſ-

21. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. Αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα

καὶ τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν· τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

mittant: turpe fuerit adolescentes, excolendi ingenii causa, nec terrestre iter velle suscipere.

22. Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας· εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν.

22 Moribus tuis adsit affabilitas, verbis urbanitas. Est autem affabilitatis, obvios salutare: urbanitatis, comiter eos appellare.

23. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ.

23. Comis in omnes eris, sed optimorum familiaritate utêris. Sic aliorum inimicitias vitabis, aliorum tibi amicitiam conciliabis.

24. Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.

24. Ne sæpius eosdem neque verbosius iisdem de rebus alloquare. Est enim rerum omnium satietas.

25. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν.

25. Exerce te voluntariis laboribus, ut etiam necessarios perferre possis.

26. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν

26. Dabis operam, ut rebus omnibus imperes, quibus animum servire

ſervire turpe eſt: cujuſmodi ſunt, lucrum, ira, voluptas, dolor. Hæc autem ita conſequêre, ſi ea in lucro deputes, quæ gloriam, non quæ opes augeant. In ira, ſi talem te præbeas delinquentibus, quales in te delinquentem alios eſſe velles. In oblectationibus, ſi turpe ducas, ſervis imperare, voluptatibus ſervire. In rebus moleſtis, ſi calamitates aliorum inſpicias, & te hominem eſſe recorderis.

αν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. Τῇ δὲ ὀργῇ ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα, καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. Ἐν δὲ τοῖς τερπνοῖς ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

27. Diligentiùs tuere depoſita verborum, quàm nummorum. Nam boni viri eſt ita ſe gerere, ut ejus integritas fide dignior, quàm jusjurandum eſſe videatur.

27. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιςότερον φαίνεσθαι παρεχομένους.

28. Quemadmodum improbis diffidendum, ſic bonis habendam eſſe fidem ducito.

28 Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.

29. Nemini arcana tua credito, niſi res il-

29. Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν

ἐὰν

ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν.

30. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

31. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς προτέροις φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

32. Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

33. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων· μήτε ἄπειρος εἶναι τῶν

las taceri æquè expedi- at etiam illis qui audi- unt, ac tibi dicenti.

30. Jusjurandum, si postulabitur, duabus de causis dabis: vel ut te- metipsum turpi crimine liberes: vel ut amicos è periculis eripias. Pecu- niæ verò causâ per nul- lum Deum jurabis, e- tiamsi liquidò id facere possis: nè aliis perjurus, aliis avarus esse videa- ris.

31. Amicitiam cum nemine jungito, prius- quam exploraveris,quo- modo prioribus amicis fuerit usus. Sperabis e- nim, eum in te quoque fore talem, qualem erga illos se præbuerit.

32. Sensim amicitiam contrahito, contractam perpetuò conservare studeto. Nam subinde mutare familiaritates, æ- què turpe est, ac ami- cum habere neminem.

33. Neque cum da- mno mores amicorum periclitare, neque so- dalium

dalium animos velis ignorare. Quod ità facies, si egêre te simulâris, non egens. Communicato cum eis res non arcanas, tanquam arcanas. Nam & deceptus nihil detrimenti capies: & voti compos factus, mores eorum perspectiores habebis.

ἑταίρων θέλεις. Τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. Περὶ τῶν ῥητῶν, ὡς ἀποῤῥήτων ἀνακοίνου. Μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ.

34. Amicos cùm in vitæ calamitate, tum in periculorum societate cognosces. Nam ut aurum igni exploratur, sic amicorum fides rebus adversis declaratur.

34. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. Τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν. τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν.

Sic autem rectissimè tractabis amicos, si non expectes dum te rogent: sed ultrò, cùm tempus postulat, eis opem feras. Non minùs turpe ducas, superari beneficiis amicorum, quàm vinci maleficiis inimicorum.

Οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς. Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις.

35. Eos amicos proba, quibus non tantùm mala tua doleant, sed

35. Ἀποδέχου τῶν ἑταίρων, μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας;

ραίνοντας;

ϕαίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. Πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι.

qui etiam bonis tuis non invideant. Multi enim, ut rebus amicorum adversis dolent, ita secundis invident.

36. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

36. Absentium amicorum mentionem fac apud præsentes, ut nec ipsos absentes neglecturus esse videaris.

37. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον.

37. In vestitu fac ornatum probes, luxum repudies. Habet autem ornatus magnificentiam, luxus redundantiam.

38. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

38. Ama bonorum non ingentem cumulum, sed moderatum fructum.

39. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων. Παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

39. Eos, qui amplificandæ rei student, quum partis uti nesciant, contemnito. Istis enim idem ferè accidit, quod ei qui bonum paravit equum non satis equitandi peritus.

40. Πειρῶ τὸν πλοῦ-

40. Da operam, ut divitiæ

divitiæ & usui & fructui tibi sint. Sunt autem iis qui frui sciunt, usui: iis verò qui uti sciunt, fructui.

τον, χρήματα καὶ κτήματα κατασκευάζειν. Ἔστι δὲ χρήματα μὲν, τοῖς ἀπολαύειν ἐπισταμένοις· κτήματα δὲ τοῖς χρῆσθαι δυναμένοις.

41. Rem familiarem duabus de causis magni fac: tum ut magnam mulctam sufferre, tum ut bono amico ferre opem in calamitate possis. Quod autem ad cæteras vitæ rationes attinet, non supra modum eam, sed mediocriter amato.

41. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. Πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.

42. Iis quæ adsunt contentus esto: quære tamen res meliores.

42. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

43. Nemini calamitatem exprobres: Nam fortuna communis est: futuráque provideri non possunt.

43. Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη· καὶ τὸ μέλλον ἀόρατον.

44. Bonis benefacito. Præclarus enim thesaurus est, beneficium apud bonum virum collocatum.

44. Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ᾽ ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη.

45. Si de malis bene mereberis, idem tibi usu veniet, quod iis qui alienos canes pascunt.

45. Τοὺς κακοὺς εὐποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν. Ἐκεῖ-

ναί

ναί τε γὰρ τοὺς διδόντας ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι.

46. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας. Ἀμφότεροι γὰρ πιστευθέντες, τοὺς πιστεύοντας ἀδικοῦσιν.

47. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους.

48. Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. Τῶν μὲν γὰρ τὸν ὑπερηφανικὸν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν· τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δ' ἔσῃ μὴ δύσερις ὤν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν μηδ'

Nam & hi æquè allatrant eos qui dant, quàm quoslibet: & improbi nón minùs eos qui bene de ipsis merentur, quàm eos qui eis nocēt, lædunt.

46. Assentatores non minùs oderis, quàm impostores. Nam utriq; lædunt eos, qui fidem illis habent.

47. Si eos amicos complecteris, qui tibi nequissimis in rebus gratificantur, per omnem ætatem nullos habebis qui tuum odium propter res optimas suscipiant.

48. Comis erga eos esto, qui te conveniunt, non superbus. Nam fastidium & arrogantiam, vel servi dominorum ægrè ferunt: comitas verò grata & jucunda est omnibus. Sunt autem comitatis officia, non contentiosum esse, non morosum, non omnibus in rebus adversatorem: familiarium iracundiæ non asperè resistere, quamvis

quamvis injustè irascantur, sed eis cedere, dum commoti sunt: ac ubi deferbuerit ira, eos objurgare: non in ridiculis serias res agere, neq; seriis in rebus nugis gaudere: intempestiva enim ubique molesta sunt: Non ingratis inire gratiam, quo vitio multi laborant: qui etsi amicis obsequuntur, gravatim tamen id faciunt: non facilè incusare, nam odiosum est: non ad reprehendendum esse proclivem, nam iratos facit.

49. Conviviorum vitare sodalitates, consultissimum certè fuerit. Sed si quando tempus postulârit, surgito ante ebrietatem Cum enim vino mens corrupta fuerit, idem ei quod curribus evenit, è quibus aurigæ sunt excussi. Nam ut hi temerè feruntur carentes gubernatoribus: sic animus in multa deli-

ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς, ἐπιπλήττων· Μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν· Μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες, Μηδὲ φιλαίτιος ὢν, βαρὺ γάρ· μηδὲ φιλεπιτιμητής, παροξυντικὸν γάρ.

49. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, τὰ αὐτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβαλλοῦσιν. Ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνόντων· ἥ τε ψυχὴ πολλὰ σφάλλεται,

λεται, διαφθαρείσης τῆς διανοίας.

ϛta impellitur, mente ſubverſa.

50. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι· θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

50. Immortalitatem ſpecta, magnitudine animi: mortalitatem, moderato rerum uſu.

51. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ οὓς τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

51. Quantum eruditio inſcitiæ præſtet, ex eo perſpicies, quod omnes è cæteris improbe factis fructum aliquem capiunt: hæc verò ſola detrimentum etiam injungit. Nam ſæpe iſti, quem offendêre verbis, ei re ipſâ pœnas dederunt.

52. Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας. Ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος.

52. Cum quibus amicitiam tibi conſtitutam eſſe vis, de illis honorificè loquitor iis audientibus, qui renunciaturi ſint. Principium enim amicitiæ eſt laudatio, vituperatio inimicitiarum.

53. Βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

53. Cum deliberas, è præteritis exempla pete rerum futurarum. Nam quæ obſcura ſunt è manifeſtis facillimè dijudicantur.

54. In deliberando tardus esto, in exequendis deliberatis celer.

55. Existima nihil tribui melius, à Diis quidem prosperà fortunâ: à nobis ipsis autem, sapienti consilio.

56. Quas res apertè dicere vereberis, & tamen cum amicis aliquibus communicare cupies, tanquam de re aliena orationem instituito. Sic & eorum sententiam intelliges, nec te ipse aperies.

57. Sed cùm alterius consilium in tuis negotiis expetes, considerabis in primis, quomodo res suas administrârit. Nam qui suum negotium malè gessit, nunquam bene procurabit alienum.

58. Sic autem ad capiendi consilii prudentiam maximè invitaberis, si quæ damna temeritatem sequantur, cogitâris. Nam & valetudinem diligentissimè

54. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

55. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν.

56. Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλῃ δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων γνώμην αἰσθήσῃ, καὶ σαυτὸν οὐ καταφανῆ ποιήσεις.

57. Ὅταν περὶ τῶν σαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρότερον πῶς ὑπὲρ τῶν αὐτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

58. Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν

ἔχουσιν

ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν.

59. Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα. Δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν. Ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν.

60. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέν τοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν· οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν.

61. Εἰς ἀρχὴν κατασταθεὶς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

62. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου

curamus, cùm ægrotationum molestias recordamur.

59. Regum mores imitare, & ad eorum studia te confer: ut eos probare & æmulari videaris. Unde fiet, ut & populus de te melius existimet, & tu illorum benevolentiam erga te confirmes.

60. Legibus regiis cùm ipsis obtempera, tum voluntatem eorum firmissimam esse legem ducito. Quemadmodum enim in populari degenti republica multitudo colenda est: sic & eum qui in imperio regio consedit, regem admirari oportet.

61. Magistratum adeptus, nullius improbi ministerio in obeundis negotiis utitor. Nam quicquid ille deliquerit, id tibi imputabitur.

62. A publicis functionibus discede non

locupletior, sed laudatior. Gloria enim & laus rectè factorum magnis opibus est præferenda,

μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

63. Nullius improbi negotii vel adjutor vel patronus esse velis. Nam & teipsum eadem facere putabunt, quæ ab aliis facta defenderis.

63. Μηδενὶ πονηρῷ πράγματι, μήτε παρίστασο, μήτε συνηγόρει. Δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς.

64. Sic te parato, ut aliis plus possis: & æquo tamen jure cum cæteris vivito: ut te justitiam colere appareat, non ex imbecillitate, sed propter æquitatem.

64. Παρασκεύαζε σεαυτὸν, πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν.

65. Paupertatem cum justitia conjunctam opibus malè partis anteponito. Nam justitia pecuniis eo præstantior est, quòd hæ viventibus tantùm prosunt, illa etiam defunctis gloriam parit: hæ vel malis hominibus contingunt, illam improbi nullo consequi modo possunt.

65. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει· κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

66. Neminem eorum qui lucris injustis

66 Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων

γόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας. Οἱ γὰρ δίκαιοι, τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.

67. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει. Μέγιστον γὰρ ἐν ἐλαχίστῳ, νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.

68. Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος, ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾷν ἐπίστῃ τὰ συμφέροντα.

69 Πᾶν ὅ,τι ἂν μέλλῃς λέγειν πρότερον ἐπισκόπει τῇ γνώμῃ. Πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

70. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυπος.

ditantur æmulare: ſed eos pluris facito, qui ob juſtitiæ ſtudium detrimentis afficiuntur. Nam juſti, ſi nullâ re aliâ injuſtis præſtant, ſpe certè bonâ ſunt ſuperiores.

67. Cùm omnium rerum quæ ad vitam degendam attinent, curam ſuſcipito: tum ingenio excolendo vel maximè intentus eſto. Maxima enim res in re minima, eſt bona mens in corpore humano.

68. Da operam, ut & corpore ſis laborioſo, & animo ſtudioſo: ut altero perficere queas decreta, altero proſpicere ſcias profutura.

69. Quicquid dicturus es, priùs cum animo tuo reputa. Multi enim ſunt, quorum lingua cogitationi antevertat.

70. Nihil rerum humanarum eſſe firmum exiſtima. Sic fiet ut nec in rebus ſecundis lætitiâ exultes, nec in adverſis conſterneris.

71. Duo loquendi tempora constitue: alterum de rebus tibi planè cognitis: alterum de iis quæ necessariò sunt dicenda. In his enim solis silentium antecellit oratio: in aliis verò tacere satius est quàm loqui.

71. Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

72. Et gaudere debes rebus secundis, & moderatè ferre dolorem calamitatum: sed utrâque dissimulato. Cùm enim domi opes occultemus, absurdum fuerit aperto animo obambulare.

72. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν· γίνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος. ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν· τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.

73. Magis cave reprehensionem quàm periculum. Nam ut vitæ finis improbis, sic bonis viris ignominiosa vita formidolosa esse debet.

73. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον. δεῖ γὰρ εἶναι φοβερὰν, τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

Operā in primis dato, ut in tuto vivere queas: sed si quando tempus inciderit, ut pericula sint adeunda, incolumis è bello evadere stude cum

Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετ' ἐπαίνου

καὶ

καὶ δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης· τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

Καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν, ὥσπερ ἐκ ταμιείου, προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν ὧν ἂν ἔχω σοι συμβουλεύειν. Πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ

laude & gloria, non cum infamia & dedecore. Nam fatum omnes quasi capitis condemnavit: mortem autem honestè oppetitam natura peculiare præstantium virorum munus esse voluit.

Neque vero mirari debes, multa ex iis quæ diximus, isti ætati tuæ non convenire. Nam id me quoque non præterit: sed propositum mihi fuit, unâ eâdemq; operâ, & de præsenti vitæ ratione consilium promere, & quid in posterum tibi faciendum esset denunciare. Nam usum quidem horum facile intelliges: fidelem autem & benevolum monitorem haud temere invenies. Ne igitur cætera ex aliis tibi quærenda essent, sed ut hinc omnia velut è penu depromeres: nihil quo tibi consulere possem prætereundum esse duxi. Magnas

autem Deo gratias agam, si me spes de te concepta non fefellerit. Nam ut plerosque alios cibis jucundissimis potius quam saluberrimis delectari; sic etiam ad eos sese amicos adjungere cernimus, qui unà delinquunt, non ad eos qui vitia reprehendunt. Te verò contrarium statuisse existimo, argumento industriæ tuæ in aliis disciplinis adductus. Nam qui ipse sibi optima quæque imperavit: eum consentaneum est, etiam alios ad virtutem exhortantes amplecti. Maximè autem ad studium honestarum rerum incitaberis, si animadvertes, eas verissimarum voluptatum esse procreatrices. Nam in socordia quidem, luxuriæque amore, molestiæ statim voluptatibus adhærescunt. Virtutis autem studi-

studium

διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. Τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. Σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σοῦ παιδείαν φιλοπονίᾳ. Τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν· ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι. Τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως

τὸν

τὸν ἑαυτοῦ βίον οἰκονομοῦσιν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι. Κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ, μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν· ἐν ἅπασι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ δὲ, διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν. (εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν) τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, εἰς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας. Εἰκότως

dium, & sobrium vitæ institutum, semper oblectationes sinceras, atque etiam constantiores gignit. Nam illic principio gavisi, post dolemus: hic post molestias voluptates capimus. In omnibus autem rebus non tam principii solemus meminisse, quàm sensu finis affici. Nam pleraque in vita non propter res ipsas agimus, sed propter ea quæ consequuntur elaboramus. Illud item cogites velim: Plebeiis quidem hominibus quidvis licere: (nam tale statim initio vitæ suæ fundamentum fecerunt) præstantibus verò negligere virtutem concessum non esse: aut fieri certè non posse, quin à multis reprehendantur. Omnes enim non tam oderunt flagitiosos: quàm eos qui virtutis professi studium, re nullâ vulgo antecellunt: nec id injuriâ. Nam cum eos impro-

improbemus qui verbis tantum fallunt: quanto magis eos nequam homines dicemus, qui nullum in tota vita suæ dignitatis gradum retinuerunt. Ac ejus generis homines non in semetipsos tantum esse injurii, sed & fortunæ proditores rectè existimantur: quæ cum eis & opes & gloriam & amicos in manus dederit, ipsi parta felicitate indignos sese præbeant. Quod si fas est mortali, voluntatem Deorum conjecturis indagare: eos etiam in conjunctissimis potissimum demonstrâsse arbitror, quomodo & adversus homines improbos, & erga bonos viros essent animati.

Nam cùm Jupiter (ut arcanæ literæ tradunt, & omnes credunt) Herculem Tantalumq; genuisset, alterum ob virtutem immortalitate donavit, alterum propter improbitatem maximis

ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν, δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν· οἱ δὲ, σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων.

Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας (ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι,) τὸν μὲν, διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε· τὸν δὲ, διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν.

οἷς

οἷς χρὴ παραδείγμασι χρωμένους, ὀρέγεσθαι τῆς καλοκαγαθίας· καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν· ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν, ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ſuppliciis affecit. Decet igitur in hæc exempla intuentes, virtutem & honeſtatem expetere: nec ea ſervare duntaxat quæ nos diximus, ſed & poëtarum optima quæque diſcere: & ea legere, quæ alii viri ſapientes utiliter præceperunt. Nam ut apes omnibus quidem inſidere floſculis, de ſingulis autem utilia carpere videmus: ſic eruditionis etiam comparandæ ſtudioſos, nullius rei eſſe rudes, ſed undique utilia colligere decet. Vix enim hâc ipsâ diligentiâ naturæ noſtræ pravitatem ſuperabimus.

ARGUMENTUM HIERON. WOLFII In secundam Orationem.

UT superior Oratio adolescentiam, vitámque privatam in genere format; ità hac, administrandæ Reipublicæ præcepta complectitur. Nicoclem enim Euagoræ filium, Salaminis Cypriæ regem hortatur, ac saluberrimis præceptis instruit, ad regnum clementer & feliciter administrandum. Repetuntur ex Paranesi nonnulla, sed aliis verbis: & hic etiam pleraque sunt, quæ paucis mutatis ad privatos homines facillimè transferantur. Sed fortasse præstat argumentum ab ipso auctore, in Oratione de permutandis facultatibus expositum, audire. Sunt autem ejus verba, quæ quidem huc pertineant, hæc:

Duarum igitur orationum partes quasdam audivistis. Volo autem etiam è tertia pauca recitare: ut planius intelligatis, omnes meas orationes ad virtutem & justitiam referri. Monet autem hæc, quæ jam legetur, oratio, Nicoclem, qui regnum Cypri eo tempore obtinebat, quomodo civibus sit imperandum

Δυοῖν μὲν τοίνυν λόγοιν ἀκηκόατε· βούλομαι δὲ καὶ τοῦ τρίτου μικρὸν διελθεῖν, ἵν᾽ ὑμῖν μᾶλλον ἔτι γένηται καταφανὲς, ὅτι πάντες οἱ λόγοι πρὸς ἀρετὴν καὶ δικαιοσύνην συντείνουσιν. Ἔστι δὲ ὁ μέλλων ῥηθήσεσθαι Νικοκλεῖ τῷ Κυπρίῳ τῷ κατ᾽ ἐκεῖνον τὸν χρόνον βασιλεύοντι, συμβουλεύων ὡς δεῖ τῶν πολιτῶν ἄρχειν. οὐχ

ὁμοίως

ὁμοίως δὲ γέγραπται τοῖς ἀνεγνωσμένοις. ἐκεῖνοι μὲν γὰρ τὸ λεγόμενον, ὁμολογούμενον ἀεὶ τοῖς προειρημένοις, καὶ συγκεκλειμένον ἔχουσιν. ἐν δὲ τούτῳ τοὐναντίον. διαλύσας γὰρ ἀπὸ τοῦ προτέρου, καὶ χωρίσας, ὥσπερ τὰ καλούμενα κεφάλαια ποιήσας, πειρῶμαι διὰ βραχέων ἕκαστον ὧν συμβουλεύω φράζειν. τούτου δ' ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ἂν ὠφελήσειν, καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν· διὰ τὴν αὐτὴν δὲ ταύτην πρόφασιν καὶ νῦν αὐτὸν ὑμῖν δεῖξαι προειλόμην, οὐχ ὡς ἄριστα τῶν λόγων γεγραμμένον, ἀλλ' ὡς ἐν τούτῳ μάλιστα φανερὸς γενησόμενος, ὃν τρόπον εἴθισμαι τοῖς ἰδιώταις καὶ τοῖς δυνάσταις πλησιάζειν. φανήσομαι γὰρ πρὸς αὐτὸν ἐλευθέρως, καὶ τῆς πόλεως.

Neque verò eodem modo ſcripta eſt, quo eæ quæ jam lectæ ſunt. Nam in illis quicquid dicitur, id cum ſuperioribus perpetua ſerie cohæret, ac devinctum eſt: in hac contrarium fit. Diſſolutas enim & diſtinctas à prioribus præceptiones in capita, quæ vocantur, redegi: ac omnia quæ ſuadeo, paucis explicare conor. Hac autem de cauſa id argumentum tractavi, quod exiſtimabam, monendo, præcipiendoque me & ejus ingenio maximas utilitates allaturum, & mores meos optime demonſtraturum. Qua etiam de cauſa nunc vobis eam oſtendere conſtitui, non quod inter cæteras optime ſcripta ſit, ſed quod ex ea rectiſſime cognoſci queat, quo pacto & cum privatis hominibus, & cum principibus viris agere ſoleam. Apparebit

enim,

ARGUMENTUM
HIERON. WOLFII
In secundam Orationem.

UT superior Oratio adolescentiam, vitámque privatam in genere format; ità hæc, administrandæ Reipublicæ præcepta complectitur. Nicoclem enim Euagoræ filium, Salaminis Cypriæ regem hortatur, ac saluberrimis præceptis instruit, ad regnum clementer & feliciter administrandum. Repetuntur ex Parænesi nonnulla, sed aliis verbis: & hic etiam pleraque sunt, quæ paucis mutatis ad privatos homines facillimè transferantur. Sed fortasse præstat argumentum ab ipso auctore, in Oratione de permutandis facultatibus expositum, audire. Sunt autem ejus verba, quæ quidem huc pertineant, hæc:

Duarum igitur orationum partes quasdam audivistis. Volo autem etiam è tertia pauca recitare: ut planius intelligatis, omnes meas orationes ad virtutem & justitiam referri. Monet autem hæc, quæ jam legetur, oratio, Nicoclem, qui regnum Cypri eo tempore obtinebat, quomodo civibus sit imperandum

Δυοῖν μὲν τοίνυν λόγοιν ἀκηκόατε· βούλομαι δὲ καὶ τοῦ τρίτου μικρὰ διελθεῖν, ἵν' ὑμῖν μᾶλλον ἔτι γένηται καταφανὲς, ὅτι πάντες οἱ λόγοι πρὸς ἀρετὴν καὶ δικαιοσύνην συντείνουσιν. Ἔστι δὲ ὁ μέλλων ῥηθήσεσθαι, Νικοκλεῖ τῷ Κυπρίῳ τῷ κατ' ἐκεῖνον τὸν χρόνον βασιλεύοντι, συμβουλεύων ὡς δεῖ τῶν πολιτῶν ἄρχειν. οὐχ ὁμοίως

ὁμοίως ἢ γέγραπται τοῖς ἀνεγνωσμένοις. Ἐκεῖνοι μὲν γὰρ τὸ λεγόμενον, ὁμολογούμενον ἀεὶ τοῖς προειρημένοις, καὶ συγκεκλεισμένον ἔχουσιν· ἐν δὲ τούτῳ τοὐναντίον διαλύσας γὰρ ἀπὸ τοῦ προτέρου, καὶ χωρίσας, ὥσπερ τὰ καλούμενα κεφάλαια ποιήσας, πειράσομαι διὰ βραχέων ἕκαστον ὧν συμβουλεύω φράζειν. Τούτου δ' ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ἂν ὠφελήσειν, καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν· διὰ τὴν αὐτὴν δὲ ταύτην πρόφασιν καὶ νῦν αὐτὸν ὑμῖν δεῖξαι προειλόμην, οὐχ ὡς ἄριστα τῶν λοιπῶν λόγων γεγραμμένον, ἀλλ' ὡς ἐκ τούτου μάλιστα φανερὸς γενησόμενος, ὃν τρόπον εἴθισμαι τοῖς ἰδιώταις καὶ τοῖς δυνάσταις πλησιάζειν. Φανήσομαι γὰρ πρὸς αὐτὸν ἐλευθέρως, καὶ τῆς πόλεως.

Neque verò eodem modo scripta est, quo eæ quæ jam lectæ sunt. Nam in aliis quicquid dicitur, id cum superioribus perpetua serie cohæret, ac devinctum est: in hac contrarium fit. Dissolutas enim & distinctas à prioribus præceptiones in capita, quæ vocantur, redegi: ac omnia quæ suadeo, paucis explicare conor. Hac autem de causa id argumentum tractavi, quod existimabam, monendo, præcipiendoque me & ejus ingenio maximas utilitates allaturum, & mores meos optime demonstraturum. Qua etiam de causa nunc vobis eam ostendere constitui, non quod inter cæteras optime scripta sit, sed quod ex ea rectissime cognosci queat, quo pacto & cum privatis hominibus, & cum principibus viris agere soleam. Apparebit

enim

enim, me libere & è
dignitate nostræ civita-
tis cum eo disseruisse,
nec divitiis illius nec
potentiæ adulatum, sed
& populi causam egisse,
& ipsam gubernationem,
quantum in me quidem
fuit, quàm fieri posset
lenissimam constituisse.
Quod si cum rege agens,
populo patrocinatus
sum: quanto magis
in republica populari
versantibus hortator ero
colendæ multitudinis?
Ac in exordio quidem,
& primo veluti limine
orationis, reprehendo
principes: qui, cum
mentem excolere &
exercere ingenium præ-
ter cæteros deberent,
pejus instituti sunt idio-
tis. Ea disputatione
absoluta, Nicoclem
moneo, ne socordiæ
indulgeat, néve ita
remisso animo sit, quasi
regnum tanquam sa-
cerdotium suscepisset:
sed ut spretis volupta-
tibus, animum rebus

ἀξίως διειλεγμένος,
καὶ οὐ τὸν ἐκείνου πλοῦτον,
οὔτε τὴν δύναμιν θερα-
πεύων, ἀλλὰ καὶ τοῖς
ἀρχομένοις ἐπαμύνων,
καὶ παρασκευάζων καθ'
ὅσον ἠδυνάμην τὴν πο-
λιτείαν αὐτῶν, ὡς οἷόν
τε πρᾳοτάτην. ὅστις γὰρ
βασιλεῖ διαλεγόμενος
ὑπὲρ τοῦ δήμου τοὺς λό-
γους ἐποιούμην, ἦ που τοῖς
ἐν δημοκρατίᾳ πολι-
τευομένοις, σφόδρ' ἂν
παρακελευσαίμην τὸ
πλῆθος θεραπεύειν; ἐν
μὲν οὖν τῷ προοιμίῳ καὶ
τοῖς πρώτοις λεγομέ-
νοις, ἐπιτιμῶ τοῖς μονάρ-
χαις, ὅτι δέον αὐτοὺς
τὴν φρόνησιν ἀσκεῖν
μᾶλλον τῶν ἄλλων, οἱ δὲ
χεῖρον πεπαίδευνται τῶν
ἰδιωτῶν. διαλεχθεὶς δὲ
περὶ τούτων, παραινῶ τῷ
Νικοκλεῖ μὴ ῥᾳθυμεῖν,
μηδ' ὥσπερ ἱερωσύνην
εἰληφότα τὴν βασιλείαν
ἀμελῶς οὕτω τὴν γνώμην
ἔχειν· ἀλλὰ τῶν ἡδονῶν
ἀμελήσαντα προσέχειν
τὸν νοῦν τοῖς πράγμασιν.
ἐπιχειρῶ δὲ καὶ τοῦτο

πείθειν

πείθειν αὐτὸν ὡς χρὴ δεινὸν νομίζειν, ὅταν ὁρᾷ τοὺς χείρους τῶν κρειττόνων ἄρχοντας, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττοντας, λέγων ὡς ὅσῳ περ ἂν ἐρρωμενέστερον τὴν τῶν ἄλλων ἄγνοιαν ἀτιμάσῃ, τοσούτῳ μᾶλλον τὴν αὐτοῦ διάνοιαν ἀσκήσει.

gerendis intendat. Illud etiam ei persuadere conor absurdissimam rem existimandam esse, si videat deteriores dominari præstantioribus, & stolidiores imperare prudentioribus: atque affirmo, quanto magis aliorum inscitiam contempserit, tanto magis fore, ut ingenium suum exerceat.

ἸΣΟΚΡΑ'ΤΟΥΣ ῬΗΤΟΡΟΣ ΠΡΟ'Σ ΝΙΚΟΚΛΕ'Α.

Περὶ βασιλείας λόγος δεύτερος.

ISOCRATIS RHETORIS ORAT. II. Ad NICOCLEM,

De Regno.

QUI vobis regibus, Nicocles, advehere vestes solent, aut aes, aut aurum factum, aut aliquid aliud ejus generis quo & ipsi egent, & vos abundatis: hos, ut mihi quidem videtur, plus satis apparet, non largitionem facere, sed mercaturam: suásque res multo callidius vendere, quàm eos qui ex professo cauponantur. Ego verò existimavi, hoc pulcherrimum fore munus ac utilissimum,

Οἱ μὲν εἰωθότες ὦ Νικόκλεις, ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν ἢ χαλκὸν ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων χρημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, οὐ δόσιν ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν. ἐγὼ δ' ἡγησάμην ἂν ταύτην καλλίστην γενέσθαι δωρεὰν, καὶ χρησιμωτάτην, καὶ μάλιστα πρέπου-

πρέπουσαν ἐμοί τε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος, καὶ τίνων ἔργων ἀπεχόμενος ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης. τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα, καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν. ἔπειθ' οἱ νόμοι, καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν· ἔτι δ' ἡ παρρησία καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς δὲ τούτοις, τινὲς καὶ τῶν ποιητῶν τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν, καταλελοίπασιν. Ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι. τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, ἀλλ' οὓς ἔδει μᾶλλον τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν

idémque & mihi danti, & tibi accipienti aptissimum, si describere possem, quibus officiis præstandis, & quibus rebus fugiendis, optimè & civitatem & regnum administrator esses. Nam privatos quidem homines permulta sunt quæ erudiant: atque in primis vita expers deliciarum, & quotidiana de parando victu quasi dimicandi necessitas. Deinde leges, quibus in suis quique civitatibus reguntur; præterea libertas illa, quà palàm & amicis objurgare invicem, & inimicis exagitare delicta licet: denique Poetæ quidem veteres præcepta de vivendi ratione reliquerunt. Quibus rebus omnibus consentaneum est, eos fieri meliores. Principibus autem nihil ejusmodi contingit, sed quos omnium maximè institui conveniebat, hi mox susce-

susceptо principatu, sine ullis monitoribus ætatem exigunt. Perpaucis enim ad eos patet aditus: qui verò familiariter cum eis vivunt, hi ad gratiam & dicunt & faciunt omnia. Itaque amplissimâ pecuniâ, & potentiâ maximâ potiti, facultatibus his non rectè utendo effecerunt, ut multi dubitent, sitne privatorum quidem hominum, sed moderatè se gerentium potiùs expetenda vita, quam tyrannorum. Nam cùm honores eorum, & divitias, & imperia intuentur, omnes eos diis similes esse censent, qui soli rerum potiuntur. Cùm verò timores & pericula considerant, memoriâque repetentes vident, alios à quibus minimè oportebat, interfectos, alios erga suos conjunctissimos delinquere coactos, aliis utrumque accidis-

καθεσταθῶσιν, ἀνουθέτητοι διατελοῦσιν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν· οἱ δὲ συνόντες, πρὸς χάριν ὁμιλοῦσιν. καὶ γάρ τοι κύριοι γενόμενοι καὶ χρημάτων πλείστων, καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς πεποιήκασιν. ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον, τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς, καὶ τοὺς πλούτους, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντες νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας. ἐπειδὰν δ' ἐνθυμηθῶσι τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι, τοὺς μὲν ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δ' εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους· τοῖς δ' ἀμφότε-

ρα

ἐκ τοῦ μὲ συμβεβηκό-
τος πάλιν ἐπιποθοῦν ζῆν
ἡγοῦνται λυσιτελεῖν
μᾶλλον, ἢ μετὰ τοιούτων
συμφορῶν ἁπάσης τῆς
Ἀσίας βασιλεύειν.
τούτου δ' ἐστὶ τῆς ἀνωμαλίας,
καὶ τῆς ταραχῆς αἴτιον
ἐστιν, ὅτι τὴν βασιλείαν
ὥσπερ ἱερωσύνην παν-
τὸς ἀνδρὸς εἶναι νομίζου-
σιν, ὃ τῶν ἀνθρωπίνων
πραγμάτων μέγιστόν
ἐστι, καὶ πλείονος προνοί-
ας δεόμενον. καθ' ἑκά-
στην μὲν οὖν πρᾶξιν, ἐξ
ὧν ἄν τις μάλιστα δύ-
ναιτο κατὰ τρόπον διοι-
κεῖν, καὶ τὰ μὲν ἀγαθὰ
διαφυλάττειν, τὰς δὲ
συμφορὰς διαφεύγειν,
τῶν ἀεὶ παρόντων ἔργον
ἐστὶ συμβουλεύειν. καθό-
λου δὲ τῶν ἐπιτηδευμάτων
ὧν χρὴ στοχάζεσθαι, καὶ
περὶ ἃ δεῖ διατρίβειν,
ἐγὼ πειράσομαι διελ-
θεῖν. εἰ μὲν οὖν ἔσται τὸ
δῶρον ἐξεργασθὲν ἄξιον
τῆς ὑποθέσεως, χαλεπὸν
ἀπὸ τῆς ἀρχῆς συνι-
δεῖν. πολλὰ γὰρ καὶ τῶν ἐμ-
μέτρων ποιημάτων, καὶ

se: rursus quovis modo vivere, melius esse putant, quam in hujusmodi calamitatibus vel universæ Asiæ dominari. Est autem hujus diversitatis & confusionis causa hæc: quod regnum tanquam sacerdotium, cujuslibet hominis esse putant: quod summum est rerum humanarum, majorémque providentiam postulat. Ac singulatim quidem quo pacto rectissimè res administrari, útque & bona conservari, & mala caveri possint: eorum munus est consulere, qui tibi semper adsunt. Generatim autem, quæ studia tanquam meta, tibi proposita esse debeant, & quibus in rebus versandum sit, ego recensere conabor. Utrum verò donum hoc argumenti dignitati, cùm absolutum fuerit, sit responsurum; ab initio facilè perspici non potest. Multa enim

enim & numeris devincta poemate, & soluta oratione conscripti libri, dum adhuc in mentibus autorum inclusa tenerentur, magnas sui expectationes concitârunt: sed perfecta tandem, & aliis ostensa, longè tenuiorem, quàm pro concepta spe, gloriam consecuta sunt. Sed tamen conatus ipse præclarus est, ab aliis prætermissa conquirendi, & regnis veluti leges præscribendi. Nam qui privatos homines instituunt; hi solis illis prosunt. Si quis verò populi dominos ad virtutem excitârit, is utrisq; commodaverit, tum iis qui imperant, tum iis qui parent imperio; quòd & illis principatus tutiores, & his Resp. publicas leniores effecerit.

τῶν καταλογάδην συγγεγραμμένων, ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συνθέντων, μεγάλας τὰς προσδοκίας παρέσχεν· ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ἐπιδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. οὐ μὴν ἀλλὰ καὶ τό γε ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ νομοθετεῖν ταῖς μοναρχίαις. οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν· εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐτοῖς ὄντας· τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πραοτέρας ποιήσειεν.

Πρῶτον

Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστίν. ἐὰν γὰρ τὸ κεφάλαιον, καὶ τὴν δύναμιν ὅλον τοῦ πράγματος καλῶς περιλάβωμεν· ἐνταῦθα ἀποβλέποντες, ἄμεινον καὶ περὶ τῶν ἄλλων μερῶν ἐροῦμεν. οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι, προσήκειν αὐτοῖς, πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι. τὰ γὰρ ἄλλα τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέον ἐστί. καὶ μὴν ἐκεῖνό γε φανερόν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους, καὶ περὶ τούτων βουλευσομένους, μὴ ῥαθυμεῖν· ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. δέδεικται γὰρ ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵασπερ ἂν τὰς αὑτῶν γνώμας παρασκευάσωσιν. ὥστε οὐδενὶ

PRimùm igitur conſiderandum eſt, quodnam ſit regum officium. Nam ſi caput, atque id in quo totius rei vis eſt, probè conſtituerimus: in ea intuentes, meliùs de cæteris quoque partibus dicturi ſumus. Arbitror equidem conſtare inter omnes, convenire eis, ut civitatem & calamitatibus liberent, & res ejus ſecundas tueantur, & ipſam è parva magnam efficiant. Nam cætera quæ quotidie incidunt, horum causâ facienda ſunt, & ad hæc referenda. Illud autem perſpicuum eſt, oportere eos, in quibus hæc facultas eſſe debeat & qui his de rebus deliberaturi ſint, non ſocordiæ ſeſe dare, ſed providere, ut ſint aliis longè prudentiores. Conſtat enim, quemadmodum ipſi animos ſuos excoluerint, ità etiã eorum regna ſe eſſe habitura. Quare nulli pugili

gis tam convenit corpus exercere, quam regibus ingenium suum. Nam celebritates ludorum universæ nullam partem constituunt eorum præmiorum, pro quibus vos quotidie decertatis. Hæc igitur considerantem, operam dare te decet, ut, quantum alios dignitate superas, tantum etiam virtute illis antecellas. Neque verò putabis curam & studium in aliis prodesse rebus, ad augendam autem virtutem & prudentiam nihil habere virium, neque tantæ infelicitatis homines condemnabis, ut, cùm artes quasdam ad cicurandas bestias, & animos illarum excolendos invenerimus, ipsi nobis ad virtutem nihil afferre adjumenti queamus. Illud potiùs tibi persuadeas, institutione & curâ

τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν. ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τίθενται τούτων τῶν ἄθλων, ἐφ᾽ ὧν ὑμεῖς καθ᾽ ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν· ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρήσιμον εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονιμωτέρους γίνεσθαι μηδεμίαν ἔχειν δύναμιν· μηδὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ᾽ αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν· ἀλλ᾽ ὡς καὶ τῆς παιδεύσεως, καὶ τῆς ἐπιμελείας δυνα-

μένης

μένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην. καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου. καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἄπειρος ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς γίνου, τῶν δὲ μαθητής· καὶ παρασκεύαζε σαυτὸν, τῶν μὲν ἐλαττόνων κριτὴν, τῶν δὲ μειζόνων ἀνταγωνιστήν. διὰ γὰρ τούτων τῶν γυμνασίων, τάχις ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύσοντα, καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα. Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο, τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν. ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμά-

cum primis posse animum nostrum adjuvari. Itaque tum domesticorum prudentissimis familiariter utere, tum exterorum quoscunque poteris accersito: tum celebrium & Poetarum & rhetorum omnium periculum tibi esse faciendum, persuasum habeto: ac illorum quidem auditor esto; horum autem discipulus: itaque te para, ut & minorum sis judex, & majorum æmulator. Nam his exercitationibus celerrimè talis fies, qualem esse oportere nos proposuimus eum, qui rectè sit regno præfuturus, & urbem, ità ut decet, gubernaturus. Sic verò ipse te maximè cohortabere, si absurdum esse duxeris, deteriores præstantioribus dominari, & stolidiores prudentioribus imperare. Nam quo vehementius aliorum inscitiam despe-

ris,

ris, eò diligentiùs ingenium tuum, exercebis.

2. Hinc igitur eos auspicari decet, qui fungi officio volent: præterea & hominum & civitatis esse amantem. Nec enim fieri potest, ut vel equis, vel canibus, vel hominibus, vel vili denique rei quisquam rectè præsit, nisi delectetur iis quorum ei mandata est curatio. Populus curæ tibi sit, & omnia in eo posita esse putato, ut is imperio tuo delectetur. Notum enim est, & oligarchias & cætera imperia eò diuturniora esse, quo diligentiùs populum coluerint.

3. Sic autem bene imperabis, si neque vulgi petulantiæ locum dederis, neq; alios populo insultare passus fueris; sed provideris, ut & honores optimo cuiq; mandentur, & cæteri nullis

σῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν ἀσκήσεις.

2. Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ, τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων. πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν. οὔτε γὰρ ἵππων, οὔτε κυνῶν, οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν· γινώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν, καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσι.

3. Καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς· ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται.

κηδήσονται. ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί.

4. Τῶν πραγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει, καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα. καὶ μάλιστα μὲν εὑρετὴς γίνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα. Ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, πρὸς δὲ τούτοις, οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιήσουσι. Ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις.

5. Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους· ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθύμως ἔχωσι.

6. Τὰς κρίσεις ποιοῦ, περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι,

injuriis afficiantur. Hæc enim elementa prima & maxima ſunt reipub. bene conſtitutæ.

4. Edicta & inſtituta vitioſa loco move, & muta: operámque in primis dato, ut optimorum ſis inventor: ſed ſi id fieri nequit, imitare quæ apud alios rectè ſe habent. Leges quære in univerſum æquas & utiles, & inter ſe conſentientes: atque etiam tales quæ & controverſias civium quàm pauciſſimas, & compoſitiones quàm fieri poteſt celerrimas efficiant. Hæc enim ineſſe oportet omnia legibus bene conſtitutis.

5. Effice negotiationes eis lucroſas, lites detrimentoſas: ut has fugiant, illas appetant.

6. De controverſiis eorum, ſententias neq; ad gratiam ferto, neque inter

inter se contrarias: sed de iisdem quidem rebus, semper eadem decernito. Etenim & decet, & expedit, regum de jure decreta esse immutabilia, ut probatas leges.

7. Urbem eodem modo, quo paternam domum administra, apparatu splendido & regali, ratione vectigalium accurata: ut simul & illustri laude celebreris, & sumptus tolerare possis.

8. Ostenta magnificentiam nullâ re magni sumptûs, statimq. periturâ: sed tum iis rebus quas diximus, tum instrumenti atque supellectilis ornatu, tum beneficentiâ in amicos. Nam quæ hoc modo insumpseris, ea & tibi ipsi firma stabiliáq. permanent, & posteris tuis plures commoditates afferent, quàm pecuniæ profusiones.

9. Religionem eam

μὴ πρὸς χάριν, μηδ' ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ περί γε τῶν αὐτῶν γίνωσκε. καὶ γὰρ πρέπει καὶ συμφέρει, τὴν τῶν βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους.

7 Διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸν πατρῷον οἶκον, τῇ μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, τῇ δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα, καὶ διαρκῇς.

8. Τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδενὶ μὲν τῶν πολυτελειῶν, τῶν εὐθὺς ἀφανιζομένων. ἀλλ' ἐν τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις. τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τέ σοι παραμένει, καὶ τοῖς ἐπιγινομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις.

9. Τὰ περὶ τοὺς θε-

ὺς ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν. ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς. μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν.

ſerva, quam à majoribus accepiſti: ſed id pulcherrimum ſacrificium, & cultum eſſe maximum exiſtima, ſi ipſe te quàm optimū & juſtiſſimum præbeas. Major enim ſpes eſt, Deos immortales talium vota auditaros, quàm eorum qui multas victimas proſternunt.

10. Τίμα τῶν μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς οἰκειοτάτους, ταῖς δὲ ἀληθεστάταις τοὺς εὐνουστάτους.

10. Primos honores conjunctiſſimis, veriſſimos benevolentiſſimis defer.

11. Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ διασώζειν τὰς τυραννίδας, μάλιστ᾽ ἄν τις δύναιτο.

11. Corporis cuſtodiam tutiſſimam eſſe puta, tum in virtute amicorum, tum in benevolentia civium, tum in tua prudentia collocatam. Hæc enim ſunt per quæ imperium facillimè & paretur, & conſervetur.

12. Κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους ἀπὸ τῶν σῶν ἀναλίσκειν, καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν. ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν

12. Rem privatorum familiarem curato: & prodigos de tuo facere ſumptum, & ad rem attentus tuas opes augere exiſtimato. Bona enim omnia in urbe habitan-

um, ad familiam pertinent regum bene imperantium.

13. Per omnem ætatem, tantam veritatis præ te ferto reverentiã, ut plus habeatur fidei tuæ affirmationi, quàm aliorum dejerationi.

14. Cùm omnibus hospitibus urbem exhibe tutam, & in contractibus æquam: tum inter advenas eos maximi facito, non qui dona tibi advehunt, sed qui à te expetunt. Nam si his honorem habueris, apud cæteros majore gloria eris.

15. Exime civibus formidinem: neq; terribilis iis esse velis, qui nihil delinquunt. Nam quo tu eos in te esse animo consuefeceris eodem & ipse in illos eris. Nihil per iracundiam agito: sed iram, cùm tempus postulabit, simulato. Acrimoniam tuam proba, indagatione rerum

πόλιν, οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί.

13. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους, ἢ τοὺς τῶν ἄλλων ὅρκους.

14. Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον· περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων μὴ τοὺς σοὶ δωρεὰς εἰς ἄγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις.

15. Τοὺς φόβους ἐξαίρει τῶν πολιτῶν, καὶ μὴ βούλου φοβερὸς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν· ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. Ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. Δεινὸς μὲν φαίνου, τῷ μηδέν σε λαν-

λανθάνειν τῶν γιγνομένων· πρᾶος δὲ, τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν· ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι.

16. Πολεμικὸς γίνου ταῖς ἐπιςήμαις καὶ ταῖς παρασκευαῖς. εἰρηνικὸς δὲ, τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. Φιλονείκει μὴ περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλῃ συνοίσειν. Φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγινομένους.

17. Μεγαλόφρονας εἶναι νόμιζε, μὴ τοὺς μείζω περιβαλλομένους, ὧν οἷοί τέ εἰσι κατα-

quæ geruntur omnium: clementiam, mitigatione ſuppliciorum. Auctoritatem imperii tuere, non aſperitate, nec ſævitiâ pœnarum, ſed excellenti ſapientia: ut te ſuæ ſaluti omnes meliùs quàm ſemetipſos conſulere arbitrentur.

16. Bellicoſus eſto, ſcientiâ rei militaris & apparatus: pacificus nihil præter jus & æquum vendicando. Erga civitates imbecilliores talē te præbe, quales in te potentiores eſſe velles. Noli de rebus quibuſvis contendere; ſed de iis duntaxat, quarum victoria tibi profutura eſt. Contemnendos exiſtima non eos qui utiliter ſuccumbunt, ſed qui cum damno ſuo vincunt.

17. Magnanimos puta, non eos qui majora ſuſcipiunt, quàm ſuſtinere poſſint; ſed qui

& mediocria desiderant, & quæ aggrediuntur perficere possunt. Æmulare non eos qui latissimè imperium propagârunt, sed qui id quod habent rectissimè administrârunt. Téque ab omni parte beatum fore puta, non si omnibus hominibus cum terroribus & periculis imperites, sed si talem te præbens, qualem decet, & ea gerens quæ in præsentia, mediocria desideres, & horum nullo careas.

18. In amicitiam recipe non quoslibet, sed tuâ naturâ dignos; neq; cum quibus jucundissimè tempus conteras, sed quorum operâ urbem optimè gubernes. Diligenter inquirito in tuos familiares; téq; scito talem ab iis omnibus, qui consuetudine tua non utuntur, judicatum iri, quales illi fuerint cum quibus vixeris.

19. Si alios iis præ-

χεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσι· Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους· καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ᾽ ἐὰν τοιοῦτος ὢν οἷον χρή, καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς.

18. Φίλους κτῶ, μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ᾽ ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ᾽ ὧν ἄριστα τὴν πόλιν διοικήσεις. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς ὅτι πάντες οἱ μὴ σοὶ πλησιάζοντες, ὁμοίον σε τοῖς χρωμένοις νομιοῦσι.

19. Τοιούτους ἐφίστη
τοῖς

τοῖς πράγμασι, τοῖς μὴ διὰ σοῦ γινομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι.

20. Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν, ὅ, τι ἂν λέγῃς ἢ ποιῇς, ἐπαινοῦντας· ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν· ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ᾽ εὐνοίας θεραπεύοντας· ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

21. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας, ὁποῖοι, καὶ τίνες εἰσί; καὶ περὶ ὧν ἂν λέγωσι. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, ὥσπερ ἂν τοὺς ἐξαμαρτάνοντας.

22. Ἄρχε σεαυτοῦ μηδὲν ἧττον, ἢ καὶ τῶν

fice rebus, quas ipse non geris, ut tibi adscribendum scias, quicquid illi fecerint.

20. Fideles existima, non eos qui omnia & dicta tua & facta laudârint; sed qui etiã errata & delicta reprehenderint. Potestatem da prudentibus liberè dicendi sententiam; ut si quibus de rebus dubitâris, præsto sint qui illas uti tecũ expendant. Discerne eos qui arte assentantur, ab illis qui ex benevolentia te colunt: nè improbi meliore conditione sint, quàm boni viri.

21. Audi quid alii de aliis dicant: operámque dato, ut quales & quinam sint, non minùs ii qui dicunt, quàm ii de quibus dicunt, cognoscas. Iisdem suppliciis affice calumniatores quibus delinquentes.

22. Impera tibi ipsi non minùs, quàm & cæ-

cæteris; idque maximè regium putato, si nullis libidinibus servias: sed cupiditates magis in potestate habeas, quam cives tuos.

ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν.

23. Nullam familiaritatem temerè, ac sine ratione contrahe; sed iis gaudere congressibus assuesce, qui te & sapientiâ augeant, & virtutis apud alios opinione.

23. Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μηδ' ἀλογίστως· ἀλλ' ἐπ' ἐκείναις τῶν διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

24. De iis rebus tibi placere noli, quæ à malis etiam perfici possunt: sed virtutem laudi tibi ducito, cujus nulla pars improbis contingere potest. Verissimos honores eos esse puta, non qui palàm ex metu tibi habentur: sed si ipsi apud sese prudentiam tuam, plus quàm fortunam admirentur.

24. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν· ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι. Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας· ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες μᾶλλον σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι.

25 Si fortè irâ acciderit, ut re aliquâ leviore gaudeas, dissimula: rerum maximarum studi-

25. Λάνθανε μὲν ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν· ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπου-

σπουδάζων. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως· ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γινώσκων ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι.

26. Σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γινομένους διὰ τὴν σὴν ἐπιμέλειαν.

27. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν, ὁ μὲν γὰρ θνητὸς, ἡ δ' ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητή· καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίνεται, τὴν δ' οὐχ οἷόν τε ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

28. Τρύφα μὲν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δ' ὡς χρὴ τοὺς βασιλέας ἐν τοῖς ἄλλοις.

um ostenta. Noli putare, aliis vivendum esse moderatè: regibus perturbatè: sed tua temperantia fac aliis exemplo sit: ne ignores, totius civitatis mores ad exemplum magistratuum conformari.

26. Hoc tibi argumento sit te regno bene præesse, si populum & locupletiorem, & modestiorem sub imperio tuo videas esse factum.

27. Præstare puta, liberis tuis honestam famam, quàm magnas opes relinquere. Nam hæ mortales sunt, illa immortalis. Famâ pecuniæ quæri possunt, emi pecuniis fama non potest. Opes etiam improbis contingunt: gloriam verò parare non possunt, nisi virtute præstantes.

28. In vestitu & corporis ornatu splendididus, in aliis actionibus laborum tolerans esto, ut reges decet: ut & qui

qui vident, ob aspectum te regno dignum judicent, & familiares tui, ob animi robur iisdem assentiantur.

ἐπιτηδεύμασιν, ἵνα οἱ μὲν ὁρῶντες, διὰ τὴν ὄψιν ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν· οἱ δὲ συνόντες, διὰ τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν.

29. Considera semper & dicta & facta tua, ut in delicta quàm paucissima incidas.

29. Σκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς.

30. Optimum certè quidem est, servare modum: sed quoniam is non facilè cognoscitur, malis citrà resistere, quàm ultrà progredi. Mediocritatis enim vis magis in eo quod parum, quàm in eo quod nimium est, cernitur.

30. Κράτιστον μὲν οὖν ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ, καὶ μὴ πλεονάζειν. αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἐνυπάρχουσιν.

31. Urbanus esse stude, & gravis: quorum hoc principatum decet, illud congressibus est aptum. Sed hoc est rerum omnium difficillimum. Nam eos qui gravitatem affectant, plerumque frigere: qui verò urbani esse student, eos humiles &

31. Ἀστεῖος εἶναι πειρῶ, καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώτατον δὲ τοῦτο πάντων τῶν προσταγμάτων· εὑρήσεις γὰρ ὡς ἐπὶ τὸ πολὺ, τοὺς μὲν σεμνυνομένους, ψυχροὺς ὄντας· τοὺς δὲ βουλομένους ἀστείους εἶναι, ταπεινοὺς

πεινοὺς φαινομένους. Δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν.

32. Ὅ, τι ἂν ἀκριβῶς εἰδέναι βούλῃ, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι, καὶ φιλοσοφίᾳ. Τὸ μὲν γὰρ φιλοσοφεῖν, τὰς ὁδούς σοι δείξει. τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. Θεώρει τὰ γιγνόμενα, καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ.

33. Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνῄσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι· τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκι-

abjectos videri compeπries. Est autem utraq; hac ratione utendum, & finitimum utrique incommodum effugiendum.

32. Quicquid earum rerum, quæ regum cognitione dignæ sunt, certò nosse voles, ad id experientiam & doctrinam adhibeto. Nam ut doctrina viam tibi ostendet, sic rerum gerendarum exercitatione id consequêris, ut res dextrè administres. Cogita quæ res & gerantur & ferantur, tum à privatis hominibus, tum à principibus. Nam si præteritorum recordaberis, de futuris etiam rectiùs deliberabis.

33. Minimè decere puta, cùm privati quidam homines mortem oppetendam censeant, ut post obitum laudentur, reges eas actiones fugere, quæ viventibus gloriam pariant.

ant. Imagines, quæ virtutis tuæ potius, quàm corporis monimenta sint, fac relinquas. Operam cum primis dabis, ut & te, & urbem in tuto colloces. Sed si periculum adeundum fuerit, honestè mori, quàm turpiter vivere præoptabis. In omnibus tuis factis Regni memento: solliciteque cave, nè quid honore isto indignum designes. Nè committas, ut natura tua simul universa intereat. Sed cùm tibi corpus mortale contigerit, animus immortalis: fac immortalem animi tui memoriam relinquas.

μᾶσιν. Βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν. μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ, καὶ τῇ πόλει διαφυλάττειν. ἐὰν δ' ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς. Ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας· καὶ φρόντιζε, ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσεις. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν.

34. Meditare de præclaris actionibus loqui: ut iis consentanea quæ dicere soles, etiam sentire assuescas. Quæ tibi cogitanti optima videbuntur, ea re ipsa perficito. Quorum gloriam miraris, eorum res ge-

34. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. ἃ δ' ἂν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις.

πράξεις. ἃ τοῖς παισὶ τοῖς ἑαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων.

35. Σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας, μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δ' ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους.

Καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστίν, ἃ καὶ σὺ γινώσκεις. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλ' ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆθος καὶ τῶν ἰδιω-

ſtas imitare. Quæ tuis liberis præciperes, ea ipſe facere nè graveris. Aut utere præceptis noſtris, aut ipſe his inveni meliora.

35. Sapientes exiſtima, non eos qui de rebus minutis curioſè rixantur, ſed qui de maximis rebus egregiè dicunt: nec eos qui aliis felicitatem pollicentur, cum ipſi multarum rerum inopiâ laborent: ſed eos qui, cùm de ſe modicè dicant, tamen & negotia dextrè obire, & inter homines verſari commodè poſſunt: nec in vitæ mutationibus perturbantur, ſed pulchrè moderatéque ferre tam ſecundas res quàm adverſas didicerunt.

Neque verò mireris nos multa dixiſſe, quæ & ipſe intelligas. Neque enim hoc me præteriit: ſed ſatis ſcivi, cùm tanta multitudo ſit & hominum privatorum & principum,

principum, alios horum aliquid dixisse; alios audivisse, alios horum à nonnullis facta vidisse, nonnulla etiam ipsos factitare. Verùm in his orationibus quæ ad præceptiones de officiis pertinent, non requirenda est novitas: in quibus nec admirabile, nec incredibile, nec inusitatum quicquam comperitur. Is verò doctissimus habendus erit, qui eorum quæ in animis aliorum dispersa jacent quàm plurima colligere & elegantissimis verbis potuerit explicare. Illud quoque mihi satis notum fuit, cùm & poemata, & alia scripta quæ suasione constant, omnes utilissima esse judicent, ea tamen non libentissimè audire: sed eodem erga illa esse animo, quo erga monitores: quos ut universi laudant, sic eorum congressus refugiunt; illorúmq; consuetudinem,

τῶν, καὶ τῶν ἀρχόντων, οἱ μέντοι τούτων εἰρήκασιν, οἱ δ' ἀκηκόασιν, οἱ δ' ἑτέρους ποιοῦντας ἑωράκασιν, ἔνια δ' αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες. ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον, οὔτε ἄπιστον, οὔτ' ἔξω τῶν νομιζομένων οὐδὲν ἔστιν εὑρεῖν, ἀλλ' ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ. καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων, καὶ τῶν συγγραμμάτων, χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γε αὐτῶν ἀκούουσιν, ἀλλὰ ταὐτὸ πεπόνθασιν, ὅπερ πρὸς τοὺς νουθετοῦντας: καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες,

πλησι-

πλησιάζειν δ' οὐ βούλονται ἀλλὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς συνεξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. Σημεῖον δ' ἄν τις ποιήσαιτο, τὴν Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν. Καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῷ τῶν ἀνθρώπων· ταῦτα δὲ λέγοντες, αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ ταῖς ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν. ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν. Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντας διατρίβειν; ὅλως γὰρ εἰ θέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαί-

qui socii delictorum sint, non eorum qui à vitiis dehortentur, expetunt. Id quod vel ex Hesiodi & Theognidis & Phocylidis poesi cognoscitur. Nam hos fatentur optima vitæ mortalium reliquisse consilia. Sed quamvis hoc dicant, nugis tamen audiendis & recitandis tempus perdere, quàm in illorum præceptionibus versari malunt. Præterea; si quis è præstantibus Poetis, eas, quas sententias vocant, in quibus illi potissimùm elaborârunt, excerperet: erga illas etiam eodem animo essent. Comœdiam enim vel nequissimam audire mallent, quàm poemata tam artificiosa. Et quid opus est singulis commemorandis immorari? Omnino enim, si naturas hominum consideremus, plerosq; nec cibis saluberrimis gaudere,

re, nec ſtudiis pulcherrimis, nec actionibus optimis, nec doctrinis utiliſſimis reperiemus, & eas voluptates habere maximas, quæ rationi utilitatis maximè repugnant: ac tolerantes & induſtrios videri eos, qui officium negligunt. Quare qui talibus quiſquam placeat, ſive moveat, ſive doceat, ſive utile aliquid dicat? qui præter ea quæ diximus, prudentibus etiam invident, ſimplices autem & candidos putant amentes: & ſic à veritate rerum abhorrent, ut nè ſua quidem negotia norint. Nam de ſuis quidem rebus cogitantes mœrent: de alienis autem cùm diſputant, gaudent: malléntque corporis ærumnam ferre, quàm animum exercere, & de re aliqua neceſſaria ſuſcipere cogitationē. Ac incongreſſibus quibus eos inter-

χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς εἶναι, καὶ φιλοπόνους, τοὺς τῶν δεόντων τι μὴ ποιοῦντας. ὥστε πῶς ἄν τις τοῖς τοιούτοις ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις λόγοις, φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας· οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν, ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι. βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. Εὕροι δ'

ἂν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδοροῦντας, ἢ λοιδορουμένους, ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους, ἀλλ' εὐχομένους. Λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. ἐκεῖνο δ' οὖν φανερὸν, ὅτι δεῖ τοὺς βουλομένους ἢ ποιεῖν, ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους. ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας ἄχθονται. Διὸ καὶ τὴν Ὁμήρου ποίησιν, καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν, ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ

ſeſe convicia vel dicere, vel audire: in ſolitudine verò non deliberare, ſed optare deprehendas. Atque hæc non in omnes dico: ſed in eos tantùm, qui his quæ diximus vitiis conſtricti ſunt. Illud certè palàm eſt, ſi qui ſunt, qui velint aliquid multitudini gratum vel carmine, vel ſoluta oratiore ſcribere, iis exquirenda eſſe non utiliſſima quæque, ſed fabuloſiſſima. Nam talibus quidem audiendis gaudent: ſed cùm veras cauſas & certamina ſpectant, mœrent. Quamobrem Homeri poeſis, & ii qui primi Tragœdiam invenerunt, admiratione afficiendi ſunt: quòd animadverſâ humani ingenii naturâ utriſque his rationibus ad poeſim ſuam abuſi ſunt. Alter enim certamina & bella ſemideorum fabuloſè perſecutus eſt: alter

alteri fabulas in ludos & actiones redegerunt, ut à nobis non audiri tantùm, sed etiam spectari possint. Cùm igitur talia exempla in promptu sint, demonstratum est, si quis auditores allicere studeat & demulcere, ab admonitionibus & consiliis esse abstinendum: illa autem & scribenda & dicenda, quibus populum gaudere videt. Hæc exposui propterea, quòd existimavi, oportere te, cùm non sis unus de multis, sed multorum rex, non ità sentire ut cæteros: neque vel res graves, vel homines prudentes metiri ac ponderare voluptatibus, sed in actionibus utilibus periculum illorum facere, præsertim cùm sapientiæ magistri de animi exercitationibus inter sese dissentiant. Nam alii disputationibus dialecticis, alii præceptis

πράξεις κατέστησαν, ὥστε μὴ μόνον ἀκουστὰς ἡμῖν, ἀλλὰ καὶ θεατὰς γενέσθαι. τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας. Ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων, ταῖς ἡδοναῖς ἀνακρίνειν· ἀλλ᾽ ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν. ἄλλως τε ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες, καί φασιν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ

δὲ

δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν, φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας. Ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον ἐξ ἑκάστου τούτων φαίνεσθαι συμβουλεύεσθαι δυνάμενον. Χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων, ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα, λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας. εἰ δὲ μή, τοὺς καθόλου τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γινώσκοντας τῶν δεόντων ἀποδοκιμάζειν· δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειεν τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων, περὶ πολλοῦ ποιοῦ καὶ θεράπευε, γινώσκων ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων

eloquentiæ, alii per alia quædam ſuis auditoribus ſapientiam pollicentur. In eo verò conſentiunt omnes, benè inſtitutum hominem oportere, ex his ſingulis ſibi prudentiam conſilii capiendi comparare. Sunt igitur ea de quibus ambigitur, miſſa facienda: & amplectendum id de quo nulla controverſia eſt, ut rectiùs de illis judicetur. Ac conſiliarii tum maximè, cùm res conſilium præſens poſtulat, ſpectandi ſunt: repudiatis iis qui in univerſum de rebus dicunt, quiq; nihil eorum quæ fieri debent intelligunt. Conſtat enim, eum qui ſibi ipſe prorſus eſt inutilis, nunquam alios effecturum eſſe prudentiores. Cordatos autem viros, & qui longiùs quàm alii proſpicere poſſunt, magni facito, & colito: ac perſuaſum habeto, bonum conſiliarium utiliſſimam, & rege

rege omnium dignissimam esse possessionem, Illos etiam tuum regnũ maximè amplificaturos credito, qui tuam mentem plurimùm potuerint excolere. Ego pro mea intelligentia te admonui: & eum honorem, quem possum, tibi habeo. Velle autem debes, ut etiam alii, (quod initio dixi) non consueta munera tibi offerant, quæ vos longè pluris emitis à donantibus, quàm à vendentibus: sed ea, quæ tametsi multum iis utaris, ídque nullum diem facere intermittas, non deteras, sed majora & pretiosiora ipse usu reddas.

κτημάτων εἶναι. Ἡγοῦ δὲ τούτους σοι μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵ τινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν. ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω, παρῄνεσα, καὶ τιμῶ σε τούτοις οἷς τυγχάνω δυνάμενος. Βούλου δὲ καὶ τοὺς ἄλλους (ὅπερ εἶπον ἀρχόμενος) μὴ τὰς εἰθισμένας ἄγειν σοι δωρεὰς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων ἢ τῶν πωλούντων, ἀλλὰ τοιαύτας αἷς ἐὰν σφόδρα χρήσῃ, καὶ μηδεμίαν ἡμέραν διαλίπῃς, οὐ καλατρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας οὔσας αὐτὰς ποιήσεις.

ἘΚΘΕ-

ἜΚΘΕΣΙΣ ΚΕΦΑΛΑΙΏΝ ΠΑ-ραινετικῶν σχεδιασθεῖσα παρὰ Ἀγαπητοῦ διακόνου τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας. ὧν ἡ ἀκρόστιχις ὧ δέ πως ἔχει.

EXPOSITIO CAPITUM admonitoriorum, edita ex tempore ab Agapeto diacono ſanctiſſimæ Dei magnæ Eccleſiæ. Quorum apex literarius ſic habet.

Τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ ἡμῶν Ἰουστινιανῷ Ἀγαπητὸς ὁ ἐλάχιστος διάκονος.

Divo & pientiſſimo Imperatori noſtro Juſtiniano, Agapetus minimus diaconus.

Τιμῆς ἁπάσης ὑπέρτερον ἔχων ἀξίωμα, Βασιλεῦ, τιμᾷς ὑπὲρ ἅπαντας τὸν τοῦτό σε ἀξιώσαντα Θεόν· ὅτι καὶ καθ' ὁμοίωσιν τῆς ἐπουρανίου βασιλείας ἔδωκέ σοι τὸ σκῆπτρον τῆς ἐπιγείου δυναστείας, ἵνα τοὺς ἀνθρώπους διδάξῃς τὴν τοῦ δικαίου φυ-

Honore quolibet ſublimiorem quum habeas dignitatem, ô Imperator, honoras ſupra omnes qui hoc te dignatus eſt Deum: quoniam juxta ſimilitudinem cœleſtis regni, tradidit tibi ſceptrum terrenæ poteſtatis, ut homines edoceres juſti cuſtodiam, & eorum

eorum qui adverſus ipſum inſaniunt, inſectareris latratum, tum ipſius obtemperans legibus, tum ſubditos tibi regens legitimé.

2. Ceu gubernator vigilat perpetuò Imperatoris oculatiſſimus intellectus, continens tutò æquitatis clavos, atque expellens fortiter impetuoſos iniquitatis fluctus, ut ne cymba mundanæ Reipublicæ illidatur fluctibus iniquitatis.

3. Divinũ documentum & potiſſimum nos homines, ut cognoſcat ſe quiſque, docemur, qui enim ſeipſum cognovit, cognoſcet Deũ: Deũ verò qui cognovit, aſſimilabitur Deo: aſſimilabitur autẽ Deo, qui dignus factus Deo eſt: dignus deniq; fit Deo qui nihil indignum patrat Deo, ſed qui ut cogitat quæ ipſius ſunt, ità tã loquitur quæ cogitat, quàm facit quæ loquitur.

λακὴν, καὶ τὴν καθ' αὑτοῦ λυσσώντων ἐκδιώξῃς τὴν ὑλακὴν ὑπὸ τῶν αὐτοῦ βασιλευόμενος νόμων, καὶ τῶν ὑπὸ σοὶ βασιλεύων ἐννόμως.

2. Ὡς κυβερνήτης ἀγρυπνεῖ διαπαντὸς ὁ τοῦ βασιλέως πολυόμματος νοῦς, διακατέχων ἀσφαλῶς τῆς εὐνομίας τοὺς οἴακας, καὶ ἀποθούμενος ἰσχυρῶς τῆς ἀνομίας τοὺς ῥύακας, ἵνα τὸ σκάφος τῆς παγκοσμίου πολιτείας μὴ περιπίπτῃ κύμασιν ἀδικίας.

3. Θεῖον μάθημα καὶ πρῶτον, οἱ ἄνθρωποι τὸ γνῶναι τινὰ ἑαυτὸν διδασκόμεθα, ὁ γὰρ ἑαυτὸν γνοὺς, γνώσεται Θεόν· Θεὸν δὲ ὁ γνοὺς, ὁμοιωθήσεται Θεῷ· ὁμοιωθήσεται δὲ Θεῷ, ὁ ἄξιος γενόμενος Θεοῦ· ἄξιος δὲ γίνεται Θεοῦ, ὁ μηδὲν ἀνάξιον πράττων Θεοῦ, ἀλλὰ φρονῶν μὲν τὰ αὐτοῦ, λαλῶν δὲ ἃ φρονεῖ, ποιῶν δὲ ἃ λαλεῖ.

4. Ἐπὶ

4. Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐναβρυνέσθω. πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ καυχώμενοι, καὶ οἱ ἐν πενίᾳ καὶ νόσῳ τρυχόμενοι, καὶ οἱ διαδήματα περικείμενοι, καὶ οἱ διὰ δώματα προσκείμενοι. μὴ τοίνυν εἰς πήλινον ἐγκαυχώμεθα γένος, ἀλλ' ἐπὶ χρηστότητι σεμνυνώμεθα τρόπων.

5. Ἴσθι, ὦ εὐσεβείας θεότευκτον ἄγαλμα, ὅτι ὅσῳ μεγάλων ἠξιώθης παρὰ θεοῦ δωρεῶν, τοσούτῳ μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις αὐτῷ. οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος τῆς εὐχαριστίας, τῷ λαμβάνοντι τὸ χρέος ὡς χάριν, καὶ τὴν χάριτος χάριν ἀντιδιδόντι. αὐτὸς γὰρ ἀεὶ καὶ χαρίτων ἄρχει, καὶ ὡς χρέος τὰς χάριτας ἀποδίδωσιν. εὐχαριστίαν δὲ ζητεῖ παρ' ἡμῶν, οὐ τὴν διὰ ῥημάτων ἀγαθῶν προ-

4. Majorum nobilitate nè quis delectetur. Limum enim habent omnes generis auctorē, & qui purpurâ byssóque turgent, & qui paupertate & adversa valetudine affliguntur, tam qui diademate redimiti sunt, quàm qui per cubicula excubant. Nè igitur lutulentum jactemus genus, sed morum integritate gloriemur.

5. Scito, ô pietatis divinitus fabricatū specimen, quia quantò majoribus dignus habitus es, tribuente Deo, muneribus, tantò majoris retributionis ipsi debitor es. Ergò redde benefactori debitum gratitudinis, acceptanti debitū ut meritum, & beneficio beneficium rependenti, ipse enim semper & beneficiis prior promeretur, & ut debitum beneficia repensat. Gratitudinē autē exigit à nobis, non quæ verborū blandorum

dorum prolatione, sed quæ rerum piarum oblatione peragitur.

6. Nulla res adeò commendabilem reddit hominem, ut posse quidem quæ velit efficere, semper autem humana & velle & agere. Quoniam igitur à Deo tibi donata est facultas, quâ indigebat propter nos bona tua voluntas, omnia & velis & agas prout ei placet qui eam tibi dedit.

7. Terrenarum opum instabiles divitiæ fluviatilium undarum imitantur cursum. Modicum enim affluunt his qui habere se eas arbitrantur: mox verò refluentes ad alios accedunt. Solus autem beneficentiæ thesaurus stabilis est possidentibus eum: bonarum enim actionum meritum ad auctores retorquetur.

8. Inaccessus nimirum ex istis hominibus

φορὰν, ἀλλὰ τὴν διὰ πραγμάτων εὐσεβῶν προσφοράν.

6. Οὐδὲν οὕτως εὐδόκιμον ἐργάζεται ἄνθρωπον, ὡς δύνασθαι μὲν ἃ βούλεται πράττειν, ἀεὶ δὲ φιλάνθρωπα καὶ βούλεσθαι καὶ πράττειν. ἐπειδὴ τοίνυν ἐκ Θεοῦ σοι κεχάρισται δύναμις, ἧς ἐδεῖτο δι' ἡμᾶς ἡ ἀγαθή σου βούλησις, πάντα καὶ βούλου καὶ πράττε, ὡς ἀρέσκει τῷ ταύτην σοι δεδωκότι.

7. Τῶν ἐπιγείων χρημάτων ὁ ἄστατος πλοῦτος τῶν ποταμίων ῥευμάτων μιμεῖται τὸν δρόμον. Πρὸς ὀλίγον μὲν ἐπιρρέων τοῖς ἔχειν νομίζουσι· μετ' ὀλίγον δὲ παραρρέων, εἰς ἄλλους ἀπέρχεται· μόνος δὲ τῆς εὐποιΐας ὁ θησαυρὸς νόμιμός ἐστι τοῖς κεκτημένοις αὐτόν· τῶν γὰρ ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς ποιοῦντας ἐπαναστρέφουσιν.

8. Ἀπρόσιτος μὲν ὑπάρχεις ἀνθρώποις

διὰ

διὰ τὸ ὕψος τῆς κάτω βασιλείας εὐπρόσιτος δὲ γίνῃ τοῖς δεομένοις, διὰ τὸ κράτος τῆς ἄνω ἐξουσίας· καὶ ἀνοίγεις τὰ ὦτα τοῖς ὑπὸ πενίας πολιορκουμένοις, ἵνα εὕρῃς τὴν τοῦ Θεοῦ ἀκοὴν ἀνεῳγμένην· οἷοι γὰρ ἂν τοῖς ἡμετέροις γενώμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν δεσπότην.

9 Τὴν πολυμέριμνον τοῦ βασιλέως ψυχὴν κατόπτρου δίκην ἀποσμήχεσθαι χρὴ ἵνα ταῖς θείαις αὐγαῖς ἀεὶ καταστράπτηται, καὶ τῶν πραγμάτων τὰς κρίσεις ἐκεῖθεν διδάσκηται· οὐδὲν γὰρ οὕτω ποιεῖ τὰ δέοντα καθορᾶν, ὡς τὸ φυλάττειν ἐκείνην διὰ παντὸς καθαράν.

10 Ὥσπερ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ὁ ναύτης σφαλῇ, μικρὰν φέρει τοῖς συμπλέουσι βλάβην· ὅταν δὲ αὐτὸς ὁ κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν· οὕτω καὶ ἐν τῇ

propter celſitudinē hujus quod hîc deorſum eſt imperii, facilis item aditu ſis indigentibus ob vim ſupernæ illius poteſtatis: atque aperias aures his qui à paupertate obſidentur, ut invenias Dei auditum adapertum; quales enim erga noſtros fuerimus conſuetos, talē circa nos reperiemus Dominúm.

9. Solicitam Imperatoris animam ſpeculi in modum abſtergi oportet, ut divinis ſplendoribus ſemper coruſcet, rerúmque diſtincta judicia indè condiſcat. nihil enim adeò facit quæ peragenda ſunt conſpicere, atq cuſtodire eam perpetuò ſyncerā.

10. Sicuti fit apud navigantes, cùm nauta errat, modicum affert navigantibus nocumentum: quum verò ipſe gubernator totius efficit navigii perniciem: ſic & in civitatibus; ſi quis ex ſubditis peccet, non

non tam rempublicam quàm ſeipſum lædit: ſin verò ipſe princeps, univerſæ infert Reipublicæ detrimentum. Is igitur ut non exiguam redditurus rationem, ſi quid neglexerit eorum quæ facto opus ſunt, cum exquiſita diligentia & dictitet cuncta & factitet.

11. Circulus quidam humanarum revolvitur rerum, qui modò ſic, modò aliter agitat ipſas, & circumfert: atque in his inæqualitas eſt, eò quòd nihil ex præſentibus in eodem ſtatu maneat, oportet igitur te, potentiſſime Imperator, in hac rerum verſatili mutatione, immutabilem habere pietatis cognitionem.

12. Averſare adulatorum pellaceis ſermones, ut corvorum rapaceis mores. Illi namque corporis effodiunt oculos, iſti autem animæ hebetant cogitatus, cùm

πόλεσιν, ἂν μὲν τις τῶν ἀρχομένων ἁμάρτῃ, οὐ τὸ κοινὸν τοσοῦτον, ὅσον ἑαυτὸν ἀδικεῖ· ἂν δὲ αὐτὸς ὁ ἄρχων, πάσης ἐργάζεται τῆς πολιτείας τὴν βλάβην. ὡς οὖν μεγάλας ὑφέξων εὐθύνας, εἴ τι παρείδοι τῶν δεόντων, μετὰ πολλῆς ἀκριβείας καὶ λεγέτω πάντα, καὶ πραττέτω.

11. Κύκλος τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ, καὶ περιφέρων· καὶ τούτοις ἀνισότης ἐστὶ, τῷ μηδὲν τῶν παρόντων ἐν ταυτότητι μένειν. δεῖ οὖν σε, κράτιστε Βασιλεῦ, ἐν τῇ τούτων ἀγχιστρόφῳ μεταβολῇ ἀμετάβλητον ἔχειν τὸν εὐσεβῆ λογισμόν.

12. Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους, ὥσπερ τῶν κοράκων τοὺς ἁρπακτικοὺς τρόπους. οἱ μὲν γὰρ τοὺς τοῦ σώματος ἐξορύττουσιν ὀφθαλμοὺς, οἱ δὲ τοὺς τῆς ψυχῆς ἐξαμβλύνουσι λογισμοὺς,

λογισμοὺς, μὴ συγχωροῦντες ὁρᾶν τὴν τῶν πραγμάτων ἀλήθειαν. ἢ γὰρ ἐπαινοῦσιν ἔσθ' ὅτε τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνων κρείττονα, ἵνα δυοῖν θάτερον αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐπαινούμενον, ἢ τὸ καλὸν ὑβριζόμενον.

13. Ἴσον εἶναι χρὴ πάντοτε τοῦ βασιλέως τὸ φρόνημα. τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον γίνεται. τὸ δὲ παγίως ἐν τοῖς καλοῖς ἐρηρεῖσθαι, ὡς τὸ εὐσεβὲς ὑμῶν ἐστήρικται κράτος, καὶ μήτε πρὸς ἀλαζονείαν ὑπεραίρεσθαι, μήτε πρὸς ἀθυμίαν καταφέρεσθαι, βεβηκότων ἐστὶν ἀσφαλῶς, καὶ ἀκράδαντον ἐχόντων τὴν ψυχήν.

14. Εἴτις καθαρισμένον ἔχει τὸν λογισμὸν ἐκ τῆς ἀνθρωπίνης ἀπάτης, καὶ βλέ-

quū non permittant perspicere rerū viritatē vel enim commendant nonnunquā quæ reprehensione digna sunt, vel reprehendunt plerūq; quæ ōni laude sunt majora: ut de duobus alterū ab ipsis cōmittatur, vel pravorū laus, vel contumeliosus bonorū contēptus.

13. Æqualem oportet semper esse Imperatoris animum: mutari enim pro rerum varietatibus, mentis instabilis argumentum efficitur. Firmiter autem bonis inhærere, quâ firmitate pium vestrum corroboratum & fixum est imperium, & neque usque ad insolentiam extolli, neq; usq; ad animi consternationem dejici, in tuta veluti basi stabilitorum est hominum, inconcussamque habentium animam.

14. Si quis purgatam habet cogitationem de humana deceptione, perspicitque

quæ naturæ vilitatem, brevitatémque & caducam sortem præsentis vitæ, ac carni conjunctas insitásque sordes, ad superbiæ nunquam illabetur præcipitium, quamvis in excelso dignitatis fastigio consistat.

15. Super omnia præclara quæ regnum habet, cultûs divini corona regem exornat. Divitiæ namque abeunt, & gloria transit: sed vitæ Deo placentis gloria immortalibus seculis coextenditur, & trans oblivionis tenebras collocat possidenteis.

16. Vehementer mihi videtur absurdissimum esse, quòd divites & pauperes homines ex dissimilibus rebus detrimentum simile patiuntur. Illi namque satietate perrumpuntur, hi verò fame pereunt. Item illi occupant ultimos mundi terminos, hi non habent ubi cal-

περὶ τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ φύσεως, τό τε βραχὺ καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥίπον, εἰς τὸν τῆς ὑπερηφανίας οὐκ ἐμπεσεῖται κρημνὸν, κἂν ἐν ἀξιώματι ὑπάρχῃ ὑψηλῷ.

15. Ὑπὲρ πάντα τῆς βασιλείας τὰ ἔνδοξα, τῆς εὐσεβείας τὸ στέμμα τὸν βασιλέα κοσμεῖ. ὁ γὰρ πλοῦτος ἀπέρχεται, καὶ ἡ δόξα μετέρχεται· τὸ δὲ κλέος τῆς ἐνθέου πολιτείας ἀθανάτοις αἰῶσι συμπαρεκτείνεται, καὶ λήθης ἐπέκεινα τοὺς ἔχοντας ἵστησι.

16. Σφόδρα μοι δοκεῖ ἀτοπώτατον εἶναι, ὅτι πλούσιοι καὶ πένητες ἄνθρωποι ἐξ ἀνομοίων πραγμάτων βλάβην πάσχουσιν ὁμοίαν. οἱ μὲν γὰρ ὑπὸ τοῦ κόρου διαῤῥήγνυνται, οἱ δὲ ὑπὸ τοῦ λιμοῦ διαφθείρονται. καὶ οἱ μὲν κατέχουσι τοῦ κόσμου τὰ πέρατα, οἱ δὲ οὐκ ἔ-

χουσι

χύσι τοῦ ςῆσαι τὰ πέλματα. ἵνα τοίνυν ἄμφω τῆς ὑγείας τύχωσιν, ἀφαιρ̃οῦσι καὶ προςιθέσι τούτους θεραπευτέον, καὶ πρὸς ἰσότητα τὴν ἀνισότητα μετενεκτέον.

17. Ἐφ' ἡμῶν ἀνεδείχθη τῆς εὐζωίας ὁ χρόνος, ὃν προεῖπέ τις τῶν παλαιῶν ἔσεσθαι, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ βασιλεῖς φιλοσοφήσωσιν. καὶ γὰρ φιλοσοφοῦντες ἠξιώθητε τῆς βασιλείας, καὶ βασιλεύσαντες οὐκ ἀπέςητε φιλοσοφίας. εἰ γὰρ τὸ φιλεῖν σοφίαν, ποιεῖ φιλοσοφίαν, ἀρχὴ δὲ σοφίας ὁ τοῦ Θεοῦ φόβος, ὃν ἐν τοῖς ςέρνοις ὑμῶν διαπαντὸς ἔχετε, εὔδηλον ὡς ἀληθὲς τὸ παρ' ἐμοῦ λεγόμενον.

18. Βασιλέα σε κατ' ἀλήθειαν ὁρίζομαι, ὡς βασιλεύειν καὶ κρατεῖν τῶν ἡδονῶν δυνάμενον, καὶ τὸν ςέφανον τῆς σωφροσύνης ἀναδησάμενον, καὶ τὴν πορφύραν τῆς δικαιοσύνης

losa pedum vestigia sistant. Ut igitur utriq; sanitati fiant compotes, auferendo & diminuendo istos regere oportet, atq; ad æqualitatē inæqualitas transferenda est.

17. Nostris temporibus ostensum est prosperæ vitæ tempus, quod prædixit quidā ex veteribus futurum, cùm vel philosophi regnarent, vel reges philosopharentur, nā philosophando digni habiti regno estis, & regnando à philosophia non descivistis. Si enim amare sapientiam, efficit philosophiā, principium autem sapientiæ, Dei est timor, quē in pectoribus vestris jugiter habetis, clarum, quàm verum sit quod à me dicitur.

18. Te secundum veritatem regem assero, quippe qui & imperare ac dominari voluptatibus valeas, & sis coronā castitatis revinctus, & purpuram justitiæ indutus: Alius namque

quæ naturæ vilitatem, brevitatémque & caducam sortem præsentis vitæ, ac carni conjunctas insitásque sordes, ad superbiæ nunquam illabetur præcipitium, quamvis in excelso dignitatis fastigio consistat.

νοῶν τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ φύσεως, τό τε βραχὺ καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥύπον, εἰς τὸν τῆς ὑπερηφανίας οὐκ ἐμπεσεῖται κρημνὸν, κἂν ἐν ἀξιώματι ὑπάρχῃ ὑψηλῷ.

15. Super omnia præclara quæ regnum habet, cultûs divini corona regem exornat. Divitiæ namque abeunt, & gloria transit: sed vitæ Deo placentis gloria immortalibus seculis coextenditur, & trans oblivionis tenebras collocat possidenteis.

15. Ὑπὲρ πάντα τῆς βασιλείας τὰ ἔνδοξα, τῆς εὐσεβείας τὸ στέμμα τὸν βασιλέα κοσμεῖ. ὁ γὰρ πλοῦτος ἀπέρχεται, καὶ ἡ δόξα μετέρχεται· τὸ δὲ κλέος τῆς ἐνθέου πολιτείας ἀθανάτοις αἰῶσι συμπαρεκτείνεται, καὶ λήθης ἐπέκεινα τοὺς ἔχοντας ἵστησι.

16. Vehementer mihi videtur absurdissimum esse, quòd divites & pauperes homines ex dissimilibus rebus detrimentum simile patiuntur. Illi namque satietate perrumpuntur, hi verò fame pereunt. Item illi occupant ultimos mundi terminos, hi non habent ubi cal-

16. Σφόδρα μοι δοκεῖ ἀτοπώτατον εἶναι, ὅτι πλούσιοι καὶ πένητες ἄνθρωποι ἐξ ἀνομοίων πραγμάτων βλάβην πάσχουσιν ὁμοίαν. οἱ μὲν γὰρ ὑπὸ τοῦ κόρου διαῤῥήγνυνται, οἱ δὲ ὑπὸ τοῦ λιμοῦ διαφθείρονται. καὶ οἱ μὲν κατέχουσι τοῦ κόσμου τὰ πέρατα, οἱ δὲ οὐκ ἔ-

χουσι πῦ ςῆσαι τὰ πέλματα. ἵνα τοίνυν ἀμφω τῆς ὑγιείας τύχωσιν, ἀφαιρέσει ϰαὶ πρυσθέσει τούτους θεραπευτέον, ϰαὶ πρὸς ἰσότητα τὴν ἀνισότητα μετενεκτέον.

losa pedum vestigia sistant. Ut igitur utriq; sanitati; fiant compotes, auferendo & diminuendo istos regere oportet, atq; ad æqualitatē inæqualitas transferenda est.

17. Ἐφ' ἡμῶν ἀνεδείχθη τῆς εὐζωίας ὁ χρόνος, ὃν προεῖπέ τις τῶν παλαιῶν ἔσεσθαι, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ βασιλεῖς φιλοσοφήσωσιν. ϰαὶ γὰρ φιλοσοφοῦντες ἠξιώθητε τῆς βασιλείας, ϰαὶ βασιλεύσαντες οὐκ ἀπέστητε φιλοσοφίας. εἰ γὰρ τὸ φιλεῖν σοφίαν, ποιεῖ φιλοσοφίαν, ἀρχὴ δὲ σοφίας ὁ τοῦ Θεοῦ φόβος, ὃν ἐν τοῖς στέρνοις ὑμῶν διαπαντὸς ἔχετε, εὔδηλον ὡς ἀληθὲς τὸ παρ' ἐμοῦ λεγόμενον.

17. Nostris temporibus ostensum est prosperæ vitæ tempus, quod prædixit quidā ex veteribus futurum, cùm vel philosophi regnarent, vel reges philosopharentur, nā philosophando digni habiti regno estis, & regnando à philosophia non desciviſtis. Si enim amare sapientiam, efficit philosophiā, principium autem sapientiæ, Dei est timor, quē in pectoribus vestris jugiter habetis, clarum, quàm verum sit quod à me dicitur.

18. Βασιλέα σε ϰατὰ ἀλήθειαν ὁρίζομαι, ὡς βασιλεύειν ϰαὶ ϰρατεῖν τῶν ἡδονῶν δυνάμενον, ϰαὶ τὸν στέφανον τῆς σωφροσύνης ἀναδησάμενον, ϰαὶ τὴν πορφύραν τῆς δικαιοσύνης

18. Te secundùm veritatem regem assero, quippe qui & imperare ac dominari voluptatibus valeas, & sis coronā castitatis revinctus, & purpuram justitiæ indutus: Aliis namque

 potesta-

poreſtatibus mors ipſa ſuccedit: hujuſcemodi verò regnum immortalem ſervat perpetuitatem. Item aliæ hoc in ſeculo ſolvuntur, hæc autem à perpetuo ſupplicio liberatur.

19. Si honore, qui ab omnibus proficiſcitur perfrui vis, præſta te communem omnium benefactorem: nihil enim adeò attrahit ad benevolentiam, ut beneficii gratia, quæ datur indigentibus, quod enim ob metum præſtatur obſequium, fucata eſt adulatio, ficti honoris titulo fallens eos qui ipſi animum advertunt.

20. Venerandum jure eſt veſtrum imperium, quia hoſtibus quidem demonſtrat poteſtatem, ſubditis verò exhibet humanitatem: & cùm illos vincat armorum vi, inermi charitate vincitur à ſuis.

ἀμφισβητούμενον, ἡ μὲν γὰρ ἄλλη ἐξουσία τὸν θάνατον ἔχει διαδοχὴν, ἡ δὲ τοιαύτη βασιλεία, τὴν ἀθάνατον σώζει διαμονήν. καὶ ἡ μὲν ἐν τῷ αἰῶνι τούτῳ λύεται, ἡ δὲ τῆς αἰωνίου κολάσεως ῥύεται.

19. Εἰ τὴν ἐκ πάντων βούλει καρποῦσθαι τιμὴν, γίνου τοῖς ἅπασιν εὐεργέτης κοινός· οὐδὲν γὰρ οὕτω πρὸς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιΐας χάρις διδομένη τοῖς χρῄζουσιν. ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, κατεσχηματισμένη ἐστὶ θωπεία, πεπλασμένης τιμῆς ὀνόματι φενακίζουσα τοὺς αὐτῇ προσανέχοντας.

20. Σεπτὴ δικαίως ἐστὶν ἡ ὑμῶν βασιλεία, ὅτι τοῖς πολεμίοις μὲν δεικνύει τὴν ἐξουσίαν, τοῖς ὑπηκόοις δὲ νέμει φιλανθρωπίαν, καὶ νικῶσα ἐκείνους τῇ δυνάμει τῶν ὅπλων, τῇ ἀόπλῳ ἀγάπῃ τῶν οἰκείων ἡττᾶται.

Ὅσον γὰρ θηρίου καὶ προβάτου τὸ μέσον, τοσοῦτο ἀμφοτέρων ἥγηνται τὸ διάφορον.

Quantum enim feræ & ovis interstitium est, tantum esse inter eos discrimen putatur.

21. Τῇ μὲν οὐσίᾳ τοῦ σώματος ἴσος παντὶ ἀνθρώπῳ ὁ Βασιλεύς, τῇ ἐξουσίᾳ δὲ τοῦ ἀξιώματος ὅμοιός ἐστι τῷ ἐπὶ πάντων Θεῷ. οὐκ ἔχει γὰρ ἐπὶ γῆς τὸν αὐτοῦ ὑψηλότερον. χρὴ τοίνυν αὐτὸν καὶ ὡς Θεὸν μὴ ὀργίζεσθαι, καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι. εἰ γὰρ καὶ εἰκόνι Θεϊκῇ τετίμηται, ἀλλὰ καὶ κόνει χοϊκῇ συμπέπλεκται, δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας ἰσότητα.

21. Essentiâ corporis æqualis est cuilibet homini imperator, potestate autem dignitati cunctorum præsidi Deo similis est. Non enim habet in terris se quenquam altiorem. Oportet igitur ipsum ut Deum non irasci, & ut mortalem non efferri. Nam etsi effigie divinâ honoratus est, at pulveri tamen terreno connexus est: quo edocetur ut in omnes servet æqualitatē

22. Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. οἱ μὲν γὰρ τὸ συμφέρον συνορῶσιν ἐν ἀληθείᾳ· οἱ δὲ πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ' αὐτῶν λεγομένοις συνᾴδουσι.

22. Amplectere eos qui bonorum te consiliorum admonitum volunt, non eos qui adulari sæpenumero student. Illi enim quod expedit revera perspiciunt: hi verò ad ea quæ placent potentibus respiciunt, corporúmque umbras imitantes, singulis eorum dictis applaudunt.

 23. Ta-

23. Talem te præsta tuos erga famulos, qualem optas erga te Dominum esse. Prout enim audimus, audiemur, & ut respicimus, respiciemur à divino cunctáque obtuente aspectu: priores igitur nos misericordiæ misericordiam conferamus, ut pari par recipiamus.

24. Sicut exquisita specula tales monstrant vultuum facies, qualia ipsa sunt archetypa, nitidas videlicet nitentium, tristeis autem eorum qui sunt tristes: eodem pacto justum Dei judiciū nostris actionibus assimilatur. Qualia enim sunt quæ à nobis præstantur, talia ipse nobis par pari referens exhibet.

25. Consulta quæ agenda sunt, cunctanter: exequere autem quæ decreveris, maturè: quoniam periculosum est admodum, inconsidera-

23. Τοιοῦτος γίνου περὶ τοὺς σοὺς οἰκέτας, οἷον εὔχῃ σοὶ τὸν δεσπότην γενέσθαι. ὡς γὰρ ἀκούομεν, ἀκουσθησόμεθα· καὶ ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπὸ τοῦ θείου καὶ παντεφόρου βλέμματος. προσενέγκωμεν οὖν τῷ ἐλέῳ τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

24. Ὥσπερ τὰ ἀκριβῆ τῶν κατόπτρων τοιαύτας δείκνυσι τὰς τῶν προσώπων ἐμφάσεις, οἷάπερ ἐστὶ τὰ πρωτότυπα, φαιδρὰ μὲν τῶν φαιδρυνομένων, σκυθρωπὰ δὲ τῶν σκυθρωπαζόντων. οὕτω καὶ ἡ δικαία τοῦ Θεοῦ κρίσις ταῖς ἡμετέραις πράξεσιν ἐξομοιοῦται. οἷάπερ γὰρ ἂν ᾖ τὰ παρ' ἡμῶν εἰργασμένα τοιαῦτα ἡμῖν ἐκ τοῦ ὁμοίου παρέχει.

25. Βουλεύου μὲν τὰ πρακτέα, βραδέως· ἐκτέλει δὲ τὰ κριθέντα, σπουδαίως. ἐπεὶ λίαν ἐστὶ σφαλερὸν, τὸ ἐν τοῖς πράγμασιν ἀπερίσκεπτον.

εἴσκεπτον. εἰ γὰρ τὰ ἐξ ἀβουλίας τις ἐννοήσει κακὰ, τότε γνώσεται καλῶς τῆς εὐβουλίας τὰ χρήσιμα, ὡς καὶ τῆς ὑγείας τὴν χάριν μετὰ τὴν πεῖραν τῆς νόσου. δεῖ τοίνυν, εὐφρονέστατε βασιλεῦ, καὶ βουλῇ συνετωτέρᾳ, καὶ εὐχῇ συντονωτέρᾳ, ἐξερευνᾶν ἀκριβῶς τὰ συνοίσοντα τῷ κόσμῳ.

26 Ἀρίστα διοικήσεις τὴν ἀγαθὴν σου βασιλείαν, εἰ πάντα σπουδάζεις ἐφορᾶν, καὶ μηδὲν ἀνέχῃ παρορᾶν. οὐ γὰρ μικρὸν ἐπὶ σοὶ ὅπερ μικρὸν εἶναι δοκεῖ ἐν συγκρίσει τῶν σῶν, ἐπειδὴ καὶ ῥῆμα βασιλέως ψιλὸν μεγάλην ἔχει παρὰ πᾶσιν ἰσχύν.

27. Σαυτῷ τὴν τοῦ φυλάττειν τοὺς νόμους ἐπίθες ἀνάγκην, ὡς μὴ ἔχων ἐπὶ γῆς τὸν δυνάμενον ἀναγκάζειν.

ta in rebus temeritas. Si quis enim quæ ex inconſulta mente preveniunt mala, conceperit animo, facilè comperiet boni conſilii commoda, ut qui ſanitatis dotem poſt ægrotationis experimentum perſentiſcunt. Debes igitur, cordatiſſime rex, tum conſilio prudentiore, tum precibus ad Deum impenſioribus exquirere diligenter quæ mundo ſunt profutura.

26. Optimè reges egregium tuum imperium, ſi omnia des operam perſpicere, nec negligere patiare quicquam, neque enim parvum eſt in te, quod parvum eſſe apparet comparatione tuorum: quoniam vel exile Imperatoris verbum ingentem obtinet apud omnes vim.

27. Tibi ipſi cuſtodiendi leges impone neceſſitatem, quum non habeas in terris qui te poſſit cogere. Sic

Sic enim tum legum præ te feres cultum ipse, ante alios eas reverendo: tum subditis constabit, legum prævaricationem periculi non esse immunem.

οὕτω γὰρ καὶ τῶν νόμων ἐπιδείξεις τὸ σέβας, αὐτὸς πρὸ τῶν ἄλλων τούτους αἰδούμενος, καὶ τοῖς ὑπηκόοις φανήσεται τὸ παρανομεῖν οὐκ ἀκίνδυνον.

28. Peccare & non cohibere peccanteis, juxta æstima. Si quis enim in civitate vitam quidē ipse traducat justè, toleret autem viventeis inique, socius malorum apud Deum judicatur. Quòd si velis bifariam approbari, ut pulcherrima quæque gerenteis honora, ità teterrima patrantibus succense.

28. Ἴσον τοῦ πλημμελεῖν, τὸ μὴ κωλύειν τοὺς πλημμελοῦντας λογίζου. κἂν γάρ τις πολιτεύηται μὲν ἐνθέσμως, ἀνέχηται δὲ τῶν βιούντων ἀθέσμως, συνεργὸς τῶν κακῶν παρὰ Θεῷ κρίνεται. εἰ δὲ βούλει διπλῶς εὐδοκιμεῖν, καὶ τοὺς τὰ κάλλιστα ποιοῦντας προτίμα, καὶ τοῖς τὰ χείριστα δρῶσιν ἐπιτίμα.

29. Expedire admodum arbitror, effugere pravorum contubernia. Qui enim cum hominibus improbis semper versatur, cum vel pati vel discere malum aliquod necesse est: qui verò unà cum bonis degit, vel imitationem honestorum edocetur, vel diminutionem vitiorum condiscit.

29. Λίαν συμφέρειν ὑπολαμβάνω, τὸ φεύγειν τὰς τῶν κακῶν συνδιαιτήσεις. τὸν γὰρ συνόντα πάντοτε ἀνθρώποις πονηροῖς, ἢ παθεῖν ἢ μαθεῖν ἀνάγκη τι πονηρόν· ὁ δὲ τοῖς ἀγαθοῖς συνδιάγων ἢ μίμησιν τῶν καλῶν ἐκδιδάσκεται, ἢ μείωσιν τῶν κακῶν ἐκπαιδεύεται.

30. Ἐγ-

30. Ἐγκόσμιον ὑπὸ Θεοῦ πιστευθεὶς βασιλείαν μηδενὶ χρῶ τῶν πονηρῶν πρὸς τὰς τῶν πραγμάτων διοικήσεις, ὧν γὰρ ἂν ἐκεῖνοι κακῶς διαπράξωνται, λόγον ὑφέξει Θεῷ, ὁ τὴν ἰσχὺν αὐτοῖς δεδωκώς· καὶ πολλῆς οὖν ἐξετάσεως αἱ τῶν ἀρχόντων προβολαὶ γινέσθωσαν.

30. Terrarum orbis à Deo cùm concreditum tibi sit regnum, cave nè aliquo utaris ex pravis ad rerum administrationes. Quæ enim illi perperam fecerint; eorum rationem reddet Deo, qui peccandi facultatem ipsis induxerit. Magnâ igitur & diligenti cum perscrutatione magistratuum promotiones fiant oportet.

31. Ἴσον νομίζω κακὸν καὶ τῶν ἐχθρῶν θυμοῦσθαι τῇ κακουργίᾳ, καὶ τῶν φίλων θέλγεσθαι ταῖς κολακείαις. δεῖ γὰρ πρὸς ἑκατέρους γενναίως ἀνθίστασθαι, καὶ τοῦ πρέποντος μηδαμῶς ἀφίστασθαι, μήτε τὴν ἄλογον ἐκείνων δυσμένειαν ἀμυνόμενον, μήτε τὴν ἐπίπλαστον τούτων εὐμένειαν ἀμειβόμενον.

31. Æquale reor esse malum, & inimicorum excandescere flagitiis, & amicorum permulceri blanditiis. Oportet enim utrisque viriliter resistere, nec usquam a decoro discedere, neque irrationabilem eorum malevolentiam ulciscendo, neque fictitiam horum benevolentiam remunerando.

32. Ἡγοῦ τούτους εἶναι φίλους ἀληθεστάτους, μὴ τοὺς ἐπαινοῦντας ἅπαντα τὰ παρὰ σοῦ λεγόμενα, ἀλλὰ τοὺς κρίσει

32. Existima verissimos amicos, non qui laudent omnia quæ dicantur abs te, sed qui nihil non integro judi-

cio facere contendunt: ſic ut gratulentur tibi, ſi bene: triſtentur contrà ſi perperam dixeris feceríſve. Hi enim revera ab omni fraude abhorrentis amicitiæ præ ſe ferunt inſignia.

33. Nè mutet tibi magnanimam mentem terrenæ hujus poteſtatis moles, ſed ut fragilem fatóque obnoxium regens principatum, immutabilē habeto mentem in rebus mutabilibus, nimiâ neque lætitiâ ſublimem te extollens, neque mœſtitiâ vileſcens.

34. Sicut aurum, quamvis modò ſic, modò aliter ab arte transfiguretur, atque ad varias ornamentorum ſpecies transformetur, permanet tamen id quod eſt, nec mutationem patitur: ſic ipſe quoque, inclytiſſime Rex, licet aliud ex alio per gradus obtinueris imperium, pervene-

δίκαια πάντα πράττειν σπουδάζοντας, καὶ συνηδομένους μὲν ἐπὶ τοῖς χρηστοτέροις· ἐπισυστενάζοντας δὲ ἐπὶ τοῖς ἐναντίοις· οὗτοι γὰρ ὄντως ἀψευδεστάτης φιλίας δεικνύουσι τεκμήριον.

33. Μὴ μεταβαλλέτω σοι τὴν μεγαλόφρονα γνώμην τῆς ἐπιγείου ταύτης δυναστείας ὁ ὄγκος, ἀλλὰ ὡς ἐπίκηρον διέπων ἀρχὴν, ἄτρεπτον ἔχε τὸν νοῦν ἐν πράγμασι τρεπτοῖς, μήτε ἐν ταῖς εὐθυμίαις ἐξυψούμενος, μήτε ἐν ταῖς ἀθυμίαις ταπεινούμενος.

34. Ὥσπερ χρυσὸς ἄλλοτε ἄλλως ὑπὸ τῆς τέχνης μετατυπούμενος, καὶ πρὸς διάφορα κοσμίων εἴδη μεταποιούμενος, ὅπερ ἐστὶ διαμένει, καὶ τροπὴν οὐχ ὑπομένει· οὕτω καὶ αὐτὸς εὐκλεέστατε βασιλεῦ, ἄλλην ἐξ ἄλλης ἀμείβων ἀρχὴν, φθάσας δὲ καὶ αὐτὴν τὴν ἀνω-

ἀνυπερβλήτῳ τιμὴν, ὁ αὐτὸς διαμένεις οὐκ ἐν τοῖς αὐτοῖς πράγμασιν, ἀναλλοίωτον ἔχων ἐν τῷ καλῷ τὸ φρόνημα.

ríſque ad ipſum ſupremum honorem, idem tamen permanes non in eiſdem rebus, immutabilem continens in officio animum.

35. Νόμιζε τότε βασιλεύειν ἀσφαλῶς, ὅταν ἑκόντων ἀνάσσῃς τῶν ἀνθρώπων. τὸ γὰρ ἀκουσίως ὑποταττόμενον στασιάζει, καιροῦ λαβόμενον· τὸ δὲ τοῖς δεσμοῖς τῆς εὐνοίας κρατούμενον, βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν εὐπείθειαν.

35. Exiſtima tunc demum te tutò regnare, cùm volentibus imperas hominibus. Quod enim invito animo ſubjicitur, ſeditionibus fluctuat, capta occaſione: quod verò vinculis benevolentiæ regitur, ſtabilem ſervat erga rectorem obedientiam.

36. Ἵνα τὸ κράτος τῆς βασιλείας ποιήσῃς ἀοίδιμον, ὅσην ἔχεις κατὰ τῶν ὑπηκόων ἁμαρτανόντων ὀργὴν, τοσαύτην ἔχειν, καὶ κατὰ σαυτοῦ πλημμελοῦντος ἀξίου· οὐδεὶς γὰρ ἰσχύει τὸν ἐν ἐξουσίᾳ τηλικαύτῃ παιδεύειν, εἰ μὴ λογισμὸς οἰκεῖος ἐξ αὐτοῦ τοῦ πλημμελοῦντος κινούμενος.

36. Ut dominium imperii facias decantabile, quantam habes adverſus ſubditos peccanteis iram, tantā habendam eſſe tibi, adverſus teipſum peccantem, cenſeto. Nemo enim valet tanta pollentem poteſtate corrigere, niſi ratio propria quæ ex ipſo peccante moveatur.

37. Ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα τῆς ἐξουσίας

37. Magnam qui poteſtatē adeptus eſt, largitorem poteſtatis imitetur,

tetur pro viribus. Si enim imaginem gestat omnium præsidis Dei, atque per ipsum continet rerum principatum, in eo maximè imitabitur Deum, ut non existimet quicquam misericordiâ pretiosiu.

38. Super aurum & lapidem pretiosum beneficentiæ divitias nobis veluti thesaurum recondamus. Illæ namque tum in præsenti vita oblectant spe futuræ fruitionis, tum in futurâ dulcedinem afferunt, experimento gustúque speratæ beatitudini: quæ verò nunc circa nos apparent, tanquam nihil ad nos pertinentia, nè nos allectent.

39. Da operam ut eos splendidioribus demerearis remunerationibus, qui cum benevolentiá capessunt quæ mandantur abs te. Hoc enim pacto & bonorum augebis alacritatem, &

μιμείσθω κατὰ δύναμιν. εἰ γάρ πως τὴν εἰκόνα φέρει τοῦ ἐπὶ πάντων Θεοῦ, καὶ δι' αὐτοῦ κατέχει τὴν ἐπὶ πάντων ἀρχήν, ἐν τούτῳ δὲ μάλιστα τὸν Θεὸν μιμήσεται, τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον.

38. Ὑπὲρ χρυσίον καὶ λίθον τίμιον τῆς εὐποιΐας τὸν πλοῦτον ἑαυτοῖς θησαυρισώμεθα, τὸν καὶ νῦν κατευφραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως, κἀκεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μακαριότητος· τὰ δὲ νῦν περὶ ἡμᾶς, ὡς οὐδὲν πρὸς ἡμᾶς, μὴ τερπέτω ἡμᾶς.

39. Σπούδαζε λαμπροτέραις ἀμείβεσθαι δωρεαῖς τοὺς μετ' εὐνοίας ποιοῦντας τὰ παρὰ σοῦ προσταττόμενα, τούτῳ γὰρ τῷ τρόπῳ, καὶ τῶν ἀγαθῶν ἐπαυξήσεις τὴν προθυμίαν

θυμίαν, καὶ τοὺς πονηροὺς διδάξεις μελετῆσαι τὴν κακίαν. τὸ γὰρ τῆς αὐτῆς ἀξιοῦσθαι τοὺς μὴ τὰ αὐτὰ ποιοῦντας, ἄγαν ἐστὶν ἀθέμιστον.

40. Τιμιώτατον πάντων ἐστὶν ἡ βασιλεία. τότε δὲ μάλιστα τοιοῦτόν ἐστιν, ὅταν ὁ ταύτῃ περικείμενος τὸ κράτος, μὴ πρὸς αὐθάδειαν ῥέπῃ, ἀλλὰ πρὸς ἐπιείκειαν βλέπῃ, τὸ μὲν ἀπάνθρωπον, ὡς θηριῶδες ἀποστρεφόμενος, τὸ δὲ φιλάνθρωπον ὡς θεοείκελον ἐνδεικνύμενος.

41. Ἴσως πρὸς τὰ φίλους καὶ ἐχθροὺς ποιοῦ τὰς κρίσεις, μήτε τοῖς εὔνουσι χαριζόμενος διὰ τὴν εὔνοιαν, μήτε τοῖς δυσμενέσιν ἀνθιστάμενος διὰ τὴν ἀπέχθειαν. ἐπειδὴ τῆς αὐτῆς ἐστιν ἀτοπίας, καὶ δικαιοῦν τὸν ἄδικον, εἰ καὶ φίλος ὑπάρχει, καὶ ἀδικεῖν τὸν δίκαιον, εἰ καὶ ἐχθρὸς τυγχάνει. τὸ γὰρ κακὸν

malos docebis ut dediſcant malitiam. Eiſdem enim cenſeri dignos qui non eadem faciunt, nimis nefarium eſt.

40. Pretioſiſſimum omnium eſt imperium. Tunc verò vel maximè hujuſcemodi eſt, cùm hac qui circundatus eſt poteſtate, non ad pertinacem & temerariam ſævitiam propenſus ſit, ſed ad æquitatem reſpiciat, inclementiam ut ferinam averſando: humanitatem, ut Deo ſimilem præ ſe ferendo.

41. Æqua lance, tam ad amicos quam ad inimicos vergens, judicandi munus obito, neq; benevolis de te gratificans ob benevolentiam: neque malevolis reſiſtens, propter inimicitias, quoniam ejuſdem eſt abſurditatis, & injuſtum ut juſtum probare, etſi ſit amicus, & injuriam juſto inferre, etſi ſit inimicus: Malum enim

enim utrobique simile est, tametsi in contrariis inveniatur.

ἐν ἀμφοτέροις ὅμοιον. κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται.

42. Intenta mente auscultari debent rerum judices. Difficilis namq; captu est justi inventio, faciléque effugere solet non admodum attendenteis. Quòd si prætermissâ dicentium eloquentiâ, dictorúmque neglecta verisimilitudine, ad penitissimam intentionum profunditatem penetraverint, sic demum haurient quod ab ipsis quæritur, geminíque insontes erunt delicti, neque ipsi honestum prodendo, neque aliis id ut committant concedendo.

42. Συνεχῶς ἀκροᾶσθαι δεῖ τοὺς τῶν πραγμάτων κριτάς. δυσθήρατον γάρ ἐστιν ἡ τοῦ δικαίου εὕρεσις, ῥᾳδίως ἐκφεύγουσα τοὺς μὴ λίαν προσέχοντας. ἂν δὲ καὶ τὴν τῶν λεγόντων ἀφέντες δεινότητα, καὶ τὴν τῶν λεγομένων παρέντες πιθανότητα, εἰς τὸ βάθος τῶν νοημάτων ἑαυτοὺς ἐμβάλλωσιν, οὕτως ἀνιμήσονται τὸ παρ' αὐτῶν ζητούμενον, καὶ διπλῆν ἁμαρτίαν ἐκφεύξονται, μήτε αὐτοὶ τὸ καλὸν προδιδόντες, μήτε ἄλλοις τοῦτο δρᾶν συγχωροῦντες.

43. Æqualia numero sideribus etsi habueris rectè facta, non tamen superabis Dei bonitatem. Quæcunq; enim quispiam obtulerit Deo sua, ipsi offeret ex suis. Et sicut anteire nulli datur

43. Ἰσάριθμα τοῖς ἄστροις ἂν κτήσῃ τὰ κατορθώματα, οὐδέποτε νικήσεις τὴν τοῦ Θεοῦ ἀγαθότητα. ὅσα γὰρ ἄν τις προσενέγκῃ Θεῷ ἐκ τῶν αὐτοῦ, τὰ αὐτοῦ προσφέρει αὐτῷ· καὶ ὡς οὐκ ἔστιν ὑπερβῆναι τὴν ἰδί-

αν

αν ἐν τῷ ἡλίῳ σκιὰν, προλαμβάνουσαν ἀεὶ καὶ τὸν λίαν ἐπειγόμενον, οὕτως οὐδὲ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ χρηστότητα ταῖς εὐποιΐαις ὑπερβήσονται ἄνθρωποι.

44. Ἀδαπάνητός ἐστιν εὐποιΐας ὁ πλοῦτος. ἐν τῷ διδόναι γὰρ λαμβάνεται, καὶ ἐν τῷ σκορπίζειν συνάγεται. τοῦτον ἔχων ἐν τῇ ψυχῇ σου, πλουσιόδωρε βασιλεῦ, δίδου πᾶσι δαψιλῶς τοῖς αἰτοῦσι παρὰ σοῦ. ἀπειροπλασίας γὰρ ἕξεις τὰς ὑπὲρ τούτων ἀμοιβὰς, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων ἀντιδόσεως.

45. Νεύματι Θεοῦ τὴν βασιλείαν λαβὼν, μίμησαι αὐτὸν δι' ἔργων ἀγαθῶν. ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων. τὸ γὰρ ἕτοιμον τῆς τῶν χρημάτων δαψιλείας ἀνεμπόδιστόν ἐστι πρὸς τὰς τῶν πενήτων εὐποιΐας.

ſuam in ſole umbram, prævenientem ſemper, vel nimis properantem; ita inſuperabilem Dei bonitatem nulli benefactis homines excedent.

44. Inexhauſtæ ſunt beneficentiæ opes. Nam largiendo acquiruntur, & diſſipando colliguntur. Has tuo inſitas animo habens, munificentiſſime Imperator, largire omnibus affatim petentibus abs te. Infiniticuplas enim pro eis habebis remunerationes, quum tempus opera remunerandi venerit.

45. Nutu Dei regnum adeptus, imitare eum bonis operibus: quia inter eorum numerum natus es, beneficio qui afficere poſſunt, non qui affici poſtulant. paratæ enim rerum copiæ nullum impedimentum eſſe poteſt, quo minùs conferantur in pauperes beneficia.

46. Si-

46. Sicut oculus innatus est corpori, ità Imperator mundo adaptatus est, à Deo datus pro administratione eorum quæ usui sunt. Oportet igitur eum omnibus hominibus quasi propriis membris prospicere, ut proficiant in bonis, non malorum offensaculo illidantur.

46. Ὥσπερ ὀφθαλμὸς ἐμπέφυκε σώματι, οὕτω βασιλεὺς τῷ κόσμῳ ἐνήρμοσται, ὑπὸ τοῦ Θεοῦ δεδομένος εἰς συνεργίαν τῶν συμφερόντων. Χρὴ οὖν αὐτὸν ὡς οἰκείων μελῶν οὕτω πάντων ἀνθρώπων προνοεῖν, ἵνα προκόπτωσιν ἐν καλοῖς, καὶ μὴ προσκόπτωσιν ἐν κακοῖς.

47. Tutissimam arbitrare salutis tuæ custodiam, nullâ quenquā ex subditis afficere injuriâ; qui enim offendit neminem, suspectum habet neminem: quòd si nullâ quenquam afficere injuriâ tutelam conciliat, longè beneficiis collatis magis id præstabit: nam ut tutelam exhibet, ità charitatem non prodit.

47. Ἀσφαλεστάτην ἡγοῦ τῆς σωτηρίας σου φυλακὴν, τὸ μηδέποτέ τινα τῶν ὑπηκόων ἀδικεῖν. ὁ γάρ τινα μὴ ἀδικῶν, οὐχ ὑφορᾶταί τινα· εἰ δὲ τὸ μὴ ἀδικεῖν ἀσφάλειαν προξενεῖ, τὸ εὐεργετεῖν πολλῷ πλέον. τὸ ἀσφαλὲς γὰρ δίδωσι, καὶ τὸ προσφιλὲς οὐ προδίδωσι.

48. Esto subditis, pientissime Imperator, & formidabilis ob excellentiam potestatis, & amabilis ob largitionem beneficentiæ. Neque formidinē contemnens,

48. Γίνου τοῖς ὑπηκόοις, εὐσεβέστατε Βασιλεῦ, καὶ φοβερὸς, διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας· καὶ ποθεινὸς, διὰ τὴν παροχὴν τῆς εὐποιΐας. Μήτε τοῦ φόβου καταφρονῶν, διὰ τὸν πόθον

πόθον, μήτε τοῦ πόθου παραμελῶν, διὰ τὸν φόβον, ἀλλὰ τὸ ἥμερον ἔχων ἀκαταφρόνητον, καὶ τὸ εὐκαταφρόνητον ἔχων ἀνήμερον.

propter amorem; nec item amorem negligens propter formidinem, ſed ram manſuetudinẽ prae te ferens haud aſpernabilem, quàm aſpernabilem familiaritatem immiti ſeveritate caſtigans.

49. Ἃ τοῖς ὑπηκόοις νομοθετεῖς διὰ τῶν λόγων, ταῦτα προλαβὼν ὑπέδειξας διὰ τῶν ἔργων· ἵνα τοῖς λόγοις, οἷς πείθεις, καὶ χρηστὸς συναγωνίζηται βίος, οὕτω γὰρ εὐδόκιμον ἀποφανῇ σου τὸ κράτος, καὶ λέγων πρακτικῶς, καὶ πράττων λογικῶς.

49. Quæ ſubditis verbo quaſi lege præſcribas, hæc tu præveniens re ipsâ præſtitiſti, ut verbis, quibus perſuades, integra quoq; vita adſtipuletur; ſic enim commendabile tuum aſſeverabis imperium, ſi & ratiocineris non ſine opere, & opereris non ſine ratione.

50. Πλέον ἀγάπα, Βασιλεῦ γαληνότατε, τοὺς λαμβάνειν παρὰ σοῦ χάριτας ἱκετεύοντας, ὑπὲρ τοὺς σπουδάζοντας δωρεὰς σοι προσφέρειν. τοῖς μὲν γὰρ ὀφειλέτης ἀμοιβῆς καθίστασαι· οἱ δέ σοι τὸν Θεὸν ὀφειλέτην ποιοῦσι, τὸν οἰκειούμενον τὰ εἰς αὐτοὺς γινόμενα, καὶ ἀμειβόμενον ἀγαθαῖς ἀνταποδόσεσι τὴν φιλόθε-

50. Eos plus ama, ſereniſſime Imperator, accipere abs tę beneficia qui ſupplicant, quàm tibi contendunt offerre munera. His enim debitor referendi gratiã efficeris: illi verò Deum dant tibi vadem, vendicantem ſibi, pertinereq; ad ſe putantem, quæcunque erga ſupplices contuleris, & remunerantem bonis retributionibus tuam tam piam

am, quàm perhumanam intentionem.

ον καὶ φιλάνθρωπόν σου σκοπόν.

51. Solis profectò partes sunt, illustrare radiis orbem Principis verò virtus est, egenorum misereri. Porrò, illo clarior est Imperator, qui pius est. Ille namq; cedit succedenti nocti: hic autē rapacitati pravórum non concedit indulgétve quicquam, sed lumine veritatis iniquitatis occulta coarguit.

51. Ἡλίου μὲν ἔργον ἐστὶ, τὸ καταλάμπειν ταῖς ἀκτῖσι τὴν κτίσιν. ἄνακτος δὲ ἀρετὴ, τὸ ἐλεεῖν τοῖς δεομένοις. κἀκείνου δὲ φανότερος ὁ εὐσεβὴς Βασιλεύς. ὁ μὲν γὰρ ὑποχωρεῖ τῇ διαδοχῇ τῆς νυκτός. ὁ δὲ οὐ παραχωρεῖ τῇ συναρπαγῇ τῶν κακῶν, ἀλλὰ τῷ φωτὶ τῆς ἀληθείας ἐξελέγχει τὰ κρυπτὰ τῆς ἀδικίας.

52. Priores quidem te Imperatores principatus adornavit: tu verò eum, præstantissime, illustriorem reddidisti: mansuetudine temperans diluénsque potestatis fastum, bonitatéque vincens adeuntium te formidinem. Quapropter tuæ serenitatis portum subeunt omnes qui misericordiâ indigent, fluctibúsq; paupertatis liberati, gratiarum actores hymnos ad te missitant.

52. Τοὺς μὲν πρὸ σοῦ βασιλεῖς ἡ ἀρχὴ κατεκόσμησε· σὺ δὲ ταύτην, κρείττω, φαιδροτέραν ἐποίησας, ἡμερότητι κεραννὺς τῆς ἐξουσίας τὸν ὄγκον, καὶ χρηστότητι νικῶν τῶν προσιόντων σοι τὸν φόβον· ὅθεν τῷ λιμένι τῆς σῆς γαληνότητος πάντες προσορμῶσιν οἱ ἐλέους δεόμενοι, καὶ τῶν κυμάτων τῆς πενίας ἀπαλλαττόμενοι, εὐχαριστηρίους ὕμνους σοι ἀναπέμπουσιν.

53. Ὅσον

53. Ὅσον τῇ δυναστείᾳ πάντων ὑπερέχεις, τοσοῦτον καὶ τοῖς ἔργοις ὑπερλάμπειν ἀγωνίζου. ἀναλογοῦσαν γὰρ τῷ μεγέθει τῆς δυνάμεως τὴν ἐργασίαν τῶν καλῶν ἀπαιτεῖσθαι προσδόκησον. ἵνα τοίνυν παρὰ Θεοῦ ἀνακηρυχθῇς, μετὰ τοῦ στεφάνου τῆς ἀηττήτου βασιλείας, κτῆσαι καὶ τὸ στέμμα τῆς τῶν πενήτων εὐποιΐας.

53. Quantùm poteſtate cæteris antecellis, tantùm factis etiam emicare ante alios enitere. Perſuaſiſſimum enim habe, eam abs te poſtulari honeſtorum operationem, quæ magnitudini virium porportione reſpondeat. Ut igitur à Deo quaſi per præconē victor declareris, coronâ invicti imperii tuo capiti impoſitâ, coronā etiam ex promerendis pauperibus acquirito.

54. Σκέπτου, πρὶν ἐπιτάττειν ἃ θέλεις, ἵνα προστάττῃς ἐμφρόνως ἃ θέμις. εὐόλισθον γὰρ τὸ τῆς γλώττης ὄργανον, καὶ μέγιστον παρέχει τοῖς ἀμελοῦσι κίνδυνον, εἰ δὲ τὸν εὐσεβῆ λογισμὸν ὡς μουσικὴν ἐπιστήσεις αὐτῷ, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούσεται μέλος.

54. Contemplator, priuſquam mandes, quæ fieri velis: ſic fiet ut ſemper prudenter jubeas quæ fas eſt. Lubricum enim eſt inſtrumentum linguæ, maximúmque affert negligentibus periculum, quod ſi pium intellectum veluti muſicam illi præfeceris, omnibus harmoniæ numeris concinnatum virtutis modulabitur melos.

55. Ὀξὺν μὲν εἶναι χρὴ περὶ πάντα τὸν ἄνακτα, καὶ μάλιστα περὶ

55. Acutum quidem eſſe oportet omnem principem, quum in aliis, tum

nam vel maximè in afferendo de rebus difficillimis judicio: lentum autem ad irascendum se præstare. Et quoniam omnimoda iræ absentia aspernabilis est, & irascatur mediocriter & non irascatur; illud, ut pravorum impetum comprimat: hoc, ut propensiores bonorum pervestiget.

56. In exquisita tui cordis cura diligenter perspicito conversantium tecum mores, ut pernoscas ad amussim, & quos charitas te colere compellit, & qui tibi per fraudem adulantur: plerique enim benevolentiam simulantes, magno credentibus detrimento sunt.

57. Sermonem cùm audis juvare valentem, nè auribus eum modò, verùm opere etiam excipito: sic enim Imperatoris exornatur decoratúrque dominium, cùm vel ex se considerat quæ

τὰς κρίσεις· τῶν δυσχερῶν πραγμάτων, βραδὺν δὲ λίαν εἰς ὀργὴν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ τὸ πάντη ἀόργητον εὐκαταφρόνητον, καὶ θυμοῦσθαι μετρίως, καὶ μὴ θυμοῦσθαι· τὸ μὲν, ἵνα τῶν φαύλων τὰς ὁρμὰς ἀναστέλλῃ· τὸ δὲ, ἵνα τὰς ἀφορμὰς τῶν χρηστῶν ἀνιχνεύῃ.

56. Ἐν τῷ ἀκριβεῖ τῆς καρδίας σου βουλευτηρίῳ, ἐπιμελῶς κατανόει τῶν συνόντων σοι τοὺς τρόπους, ἵνα γινώσκῃς ἀκριβῶς καὶ τοὺς ἐν ἀγάπῃ θεραπεύοντας, καὶ τοὺς ἐν ἀπάτῃ κολακεύοντας. πολλοὶ γὰρ εὐνοεῖν ὑποκρινόμενοι, μεγάλα τοὺς πιστεύοντας καταβλάπτουσι.

57. Λόγον ἀκούσας ὠφελῆσαι δυνάμενον, μὴ μόνον ἀκοῇ τοῦτον, ἀλλὰ καὶ πράξει διαδέχου. Οὕτω γὰρ τὸ τοῦ βασιλέως ἀγλαΐζεται κράτος, ὅταν ἢ παρ' ἑαυτοῦ τὰ δέοντα συνορᾷ,

ρᾷ. ἢ παρ' ἄλλου εὑρεθέντα μηδαμῶς παρορᾷ· ἀλλὰ μανθάνει μὲν ἀνεπαισχύντως, ἐκτελεῖ δὲ ἀνυπερθέτως.

58. Ἀκρόπολις μὲν ἀπορθήτοις τείχεσιν ἠσφαλισμένη καταφρονεῖ τῶν πολιορκούντων αὐτὴν πολεμίων· ἡ εὐσεβὴς δὲ βασιλεία ὑμῶν ἐλεημοσύναις τετειχισμένη, καὶ προσευχαῖς περιπυργουμένη, ἄβλητος γίνεται τοῖς τῶν ἐχθρῶν βέλεσιν, ἀοίδιμα κατ' αὐτῶν ἐγείρουσα τρόπαια.

59. Χρῆσαι δεόντως τῇ κάτω βασιλείᾳ, ἵνα κλίμαξ σοι γένηται τῆς ἄνω εὐδοξίας. οἱ γὰρ ταύτην καλῶς διοικοῦντες, μετὰ ταύτης κἀκείνης ἀξιοῦνται. ταύτην δὲ διοικοῦσι καλῶς, οἱ πατρικὸν τοῖς ἀρχομένοις ἐπιδεικνύοντες πόθον, καὶ ἀρχικὸν παρ' αὐτῶν ἀντιλαμβάνοντες φόβον· ἀπειλαῖς μὲν τὰ πταίσματα προαναστέλλοντες, τιμωρίας

decent, vel ab alio reperta non despicit: sed tum discit sine verecundia, tum exequitur sine cunctatione.

58. Arx quidem indepopulabilibus muris munita contemnit obsidenteis se hostes: Pium autem vestrum imperium cùm & liberalitate erga miseros veluti muro cinctum, & precum turribus corroboratum sit, invictum nullísque hostium telis pervium fit, præclara & celebria contra eos erigens trophæa.

59. Utere ut oportet regno hoc inferiore, ut scala tibi fiat superioris claritatis. Qui enim hanc rectè gubernant, illâ quoque postmodum digni censentur: hanc autem rectè gubernant, qui paternam subditis ostendunt charitatem, & principi debitum ab ipsis recipiunt timorem. Itaque minis quidem vitia compescent: supplicii

plicii autē ſenſum ipſis neutiquam infligent.

60. Veſtimentum non veteraſcens eſt beneficentiæ amictus, & incorrupta ſtola eſt charitas erga pauperes. Eum igitur oportet, qui piè regnare vult, talium indumentorū pulchritudine animam exornare. Amoris enim in egenos qui indutus eſt purpuram, cœleſtis quoque regni compos efficitur.

61. Sceptrum imperii cùm à Deo ſuſceperis, cogitato quibuſnam modis placebis ei qui id tibi dedit: quóque omnibus hominibus ab eo ſis prælatus, magis omnibus eum honeſtare feſtina. Porrò, id ipſe honeſtamentum arbitratur maximum, ſi quaſi teipſum factos à ſe tuearis, atque ut debiti exolutionem, benefaciendi munus adimpleas.

62. Recurrere ad ſupernum auxilium cùm homo quivis debet ſalu-

δὲ πεῖραν αὐτοῖς ἐπαγάγοντες.

60. Ἱμάτιον ἀπαλαίωτόν ἐστι τὸ τῆς εὐποιΐας περιβόλαιον, καὶ ἀδιάφθορος στολὴ ἡ πρὸς τοὺς πένητας στοργή. δεῖ οὖν τὸν βουλόμενον εὐσεβῶς βασιλεύειν, τοιούτοις ἐνδύμασι τὴν ψυχὴν καλλωπίζειν. Φιλοπτωχίας γὰρ ἐμφιεσμένος πορφύραν, καὶ οὐρανίου βασιλείας καταξιοῦται.

61. Σκῆπτρον βασιλείας παρὰ Θεοῦ δεξάμενος, σκέπτου πῶς ἀρέσεις τῷ ταῦτην σοι δεδωκότι, καὶ ὡς πάντων ἀνθρώπων ὑπ' αὐτοῦ προτιμηθεὶς, πλέον πάντων ἔπειγου καταγεραίρειν αὐτόν. τοῦτο δὲ γέρας ἡγεῖται μέγιστον, ἂν ὡς αὐτὸν τοὺς ὑπ' αὐτοῦ διαπλασθέντας ὁρᾷς, καὶ ὡς χρέων καταβολὴν τὰς εὐποιΐας πληροῖς.

62. Τρέχειν μὲν εἰς τὴν ἄνω βοήθειαν πᾶς ἄνθρωπος ὀφείλει, ὁ σωτη-

σωτηρίας γλιχόμενος, ὁ Βασιλεὺς δὲ πρὸ πάντων, ὡς μεριμνῶν ὑπὲρ πάντων. ὑπὸ τοῦ Θεοῦ γὰρ φυλαττόμενος, καὶ τοὺς πολεμίους καταγωνίζεται γενναίως, καὶ τοὺς οἰκείους κατασφαλίζεται σπουδαίως.

63. Ὁ μὲν Θεὸς οὐδενὸς δεῖται, ὁ Βασιλεὺς δὲ μόνου Θεοῦ. μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον, καὶ δαψιλεύου τοῖς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς οἰκέτας. ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ ζῆν αἰτήσεις. πολὺ γὰρ κρεῖττόν ἐστι διὰ τοὺς ἀξίους ἐλεεῖν καὶ τοὺς ἀναξίους, ἢ τοὺς ἀξίους ἀποστερεῖν διὰ τοὺς ἀναξίους.

64. Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν, ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡ

tem qui expetat, tum ante omnes Imperator: utpote qui pro omnibus solicitus est, quum enim à Deo custodiatur, tam hostes generosa manu debellat, quàm suos sedulò communit.

63. Deus nullâ re indiget, Imperator solo Deo. Imitare igitur nullius indignum, petentibúsque fac uberem misericordiæ copiam, non exactâ & ad vivum resecante rem ratione impensarum tuarum erga famulatum utens: sed omnium de sustinenda vita petitionibus satisfaciens. Longè enim satius est merito dignorum etiam indignis misereri, quàm indignorum vitio dignos iis defraudare quæ merentur.
